# ΕΥΧΟΛΟΓΙΟΝ (Α)

**ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΤΡΑΠΕΖΗΣ (σελ. 2),**
**ΑΚΟΛΟΥΘΙΑ ΥΨΩΣΕΩΣ ΤΗΣ ΠΑΝΑΓΙΑΣ (σελ. 3),**
**ΕΙΣ ΠΛΑΚΟΥΝΤΑ ΑΓΙΟΥ ΦΑΝΟΥΡΙΟΥ (σελ. 5),**
**Κόλλυβα αγίων (σελ. 8),**
**Ακολουθία του Αγιασμου επι ευλογήσει νέου οχήματος (σελ. 10),**
**ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΚΥΠΡΙΑΝΟΥ ΔΙΑΛΥΟΥΣΑ ΤΑ ΜΑΓΙΑ (σελ. 14),**
**ΤΑΞΙΣ ΤΕΛΕΤΗΣ ΚΟΠΗΣ ΒΑΣΙΛΟΠΙΤΤΑΣ (σελ. 19),**
**ευχή σταφυλιων 6-8 (σελ. 21),**
**Εὐχὴ Εἰς τὸ Εὐλογῆσαι Τυρὸν καὶ Ὠά. (σελ. 22),**
**ΕΥΧΗ ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΕΔΕΣΜΑΤΑ ΚΡΕΩΝ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ (σελ. 22),**
**1-2, Ο εξορκισμός του Αγίου Μάρτυρος Τρύφωνος εις κήπους, αμπελωνας και χωράφια ( σελ. 23),**
**ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ, ΕΥΧΑΙ ΠΕΡΙΣΤΑΤΙΚΑΙ, ΕΥΧΗ ΕΠΙ ΒΑΣΚΑΝΙΑΝ (σελ. 25),**
**Ξεμάτιασμα για μικρά παιδιά (σελ. 28),**
**Εὐχὴ εἰς γυναῖκα λεχώ, τῇ πρώτῃ ἡμέρᾳ τῆς γεννήσεως τοῦ παιδίου αὐτῆς.(31),**
**Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ ἀπὸ τῆς γεννήσεως αὐτοῦ (σελ.34)**
**Εὐχαὶ εἰς τὸ ἐκκλησιάσαι παιδίον, μεθ᾽ ἡμέρας τεσσαράκοντα (σελ. 36 ),**
**Εξομολόγησις (σελ. 38)**

**ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΤΡΑΠΕΖΗΣ**
**Πρὸ τοῦ Ἀρίστου**

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἀγιασθήτω τὸ ὄνομά σου˙ ἐλθέτω ἡ βασιλεία σου˙ γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς˙ τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον˙ καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν˙ καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
(Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα
τοῦ Πατρὸς καὶ τοῦ Ὑιοῦ καὶ τοῦ ἁγίου Πνεύματος,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.)
Δόξα Πατρί καὶ Ὑιῷ καὶ ἁγίῳ Πνεύματι•
καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον. (Πάτερ ἅγιε εὐλόγησον.)
Χριστὲ ὁ Θεός ἡμῶν, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων Σου, + ὅτι ἅγιος εἶ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Μετὰ τὸ ἄριστον•**
*Εὐχαριστοῦμεν σοι, Χριστὲ ὁ Θεός ἡμῶν, ὅτι ἐνέπλησας ἡμᾶς τῶν ἐπιγείων σου ἀγαθῶν• μή στερήσῃς ἡμᾶς καὶ τῆς ἐπουρανίου σου βασιλείας• ἀλλ' ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθέ καὶ μεθ' ἡμῶν, καὶ σῶσον ἡμᾶς.*
*Δόξα Σοι ὁ Θεός, Δόξα Σοι ὁ Θεός, Δόξα Σοι ὁ Θεός.*
*Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.*
**(ΔΟΞΑ…ΚΑΙ ΝΥΝ…ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ…ΕΥΛΟΓΗΣΟΝ. ΙΕΡΕΥΣ: Χριστέ ο Θεός, ευλόγησον τα περισσεύματα της τραπέζης ταύτης, και πλήθυνον αυτά εν τω οίκω τούτω και εις τον κόσμον σου άπαντα, ότι συ ει ο ευλογων, αγιάζων και τρέφων τα σύμπαντα Χριστέ ο Θεός ημων, και σοι την δόξαν αναπέμπομεν, συν τω αναρχω σου Πατρί και τω Παναγίω και αγαθω και ζωοποιω σου Πνεύματι, νυν, και αεί, και εις τους αιωνας των αιώνων. Αμήν.)**

## Μετὰ τὸ δεῖπνον

Εὔφρανας ἡμᾶς, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἠγαλλιασάμεθα. Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε˙ ἔδωκας εὐφροσύνην εἰς τὰς καρδίας ἡμῶν. Ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐνεπλήσθημεν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθησόμεθα καὶ ὑπνώσομεν˙ ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκισας ἡμᾶς. Ἀμήν.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

(Ἐν ἡμέραις νηστείας, μετὰ τὸ δεῖπνον ἀντί «Εὔφρανας ἡμᾶς…» λέγομεν τὴν Εὐχαριστίαν τοῦ μεσημβρινοῦ γεύματος «Εὐχαριστοῦμέν σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἐνέπλησας ἡμᾶς τῶν ἐπιγείων σου ἀγαθῶν…)

**ΑΚΟΛΟΥΘΙΑ ΥΨΩΣΕΩΣ ΤΗΣ ΠΑΝΑΓΙΑΣ**, ΕΝ ΔΕΣΠΟΤΙΚΗι Ή ΘΕΟΜΗΤΟΡΙΚΗι ΕΟΡΤΗι

*Πρὸ τῆς ἐνάρξεως τῆς ἀκολουθίας εὐτρεπίζεται ἐπὶ τοῦ σολέα μικρὰ τράπεζα καὶ τίθεται ἐπ' αὐτῆς δίσκος περιέχων τὰς ἀποκοπείσας ἐκ τῶν προσφορῶν τριγωνικάς μερίδας τῆς Θεοτόκου. Ὁ ἱερεὺς ἵσταται μετὰ τοῦ διακόνου πρὸ τῆς ὡς ἄνω τραπέζης, βλέπων πρὸς ἀνατολάς. Καὶ ἄρχεται ἡ ἀκολουθία οὕτως˙Ὁ διάκονος* Εὐλόγησον, δέσποτα.*Ὁ ἱερεὺς˙*

**Ε**ὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ὁ ἀναγνώστης˙* Ἀμήν. Ἅ**γ**ιος ὁ Θεὸς, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος˙ ἐλέησον ἡμᾶς. (Τρὶς) Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Π**αναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον˙ Κύριε, ἐλέησον˙ Κύριε, ἐλέησον. Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Π**άτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς˙ ἁγιασθήτω τό ὄνομά σου˙ ἐλθέτω ἡ βασιλεία σου˙ γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς˙ τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον˙ καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν˙ καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. *Ὁ ἱερεὺς˙* Ὅ**τ**ι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ὁ χορός˙* Ἀμήν. *Μεθ' ὃ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς τρὶς.*

*Καὶ ἡ ἐκτενὴς ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ἀποκρινομένου ἐν ἑκάστῃ δεήσει το* Κύριε, ἐλέησον (τρὶς)˙

Ἐ**λ**έησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ (καὶ μνημονεύει τῶν ὀνομάτων τῶν προσκομισάντων τὰς προσφορὰς), τῶν ἐπιτελούντων τὴν ἁγίαν ἑορτὴν ταύτην καὶ προσφερόντων τὰ δῶρα ταῦτα.

*Ὁ ἱερεὺς˙* Ὅ**τ**ι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ὁ χορός˙* Ἀμήν.

*Ὁ ἱερεὺς ὑψοῖ τὰς μερίδας τῆς Θεοτόκου λέγων μεγαλοφώνως˙*

**Μέγα τὸ ὄνομα**

*Καὶ ὁ λαός˙*
**τῆς Ἁγίας Τριάδος.**
*Καὶ πάλιν ὁ ἱερεὺς κινῶν τὰς μερίδας σταυροειδῶς˙*
**Υπεραγία Θεοτόκε, βοήθει ἡμῖν.**
*Ὁ δὲ λαός˙*
**Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**
*Μετὰ δὲ τὴν ὕψωσιν ψάλλομεν˙*
**Γ**έγονεν ἡ κοιλία σου ἁγία τράπεζα, ἔχουσα τὸν οὐράνιον ἄρτον, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐξ οὗ πᾶς ὁ τρώγων οὐ θνήσκει, ὡς ἔφησεν ὁ τοῦ παντός, Θεογεννῆτορ, τροφεύς.
**Τ**ῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου, ἄχραντε.
*Εἶτα ἀντὶ τοῦ* **Ἄξιόν ἐστιν**… *ψάλλεται ὁ εἱρμὸς τῆς θ' ᾠδῆς τοῦ κανόνος τῆς ἑορτῆς.*
*Καὶ ἡ ἀπόλυσις οὕτως˙ Ὁ ἱερεὺς˙*
**Δ**όξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. *Ὁ ἀναγνώστης˙*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (τρὶς). Πάτερ ἅγιε, εὐλόγησον. *Ὁ ἱερεὺς˙*
**Χ**ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός˙ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ˙ προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων˙ ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου˙ τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων˙ τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων˙ τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν˙ τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης˙ τοῦ ἁγίου (τοῦ ναοῦ) καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. **Δ**ι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. *Ὁ χορός˙* Ἀμήν.
*Ὁ ἱερεὺς διανέμει τὰς μερίδας (ὑψώματα) εἰς τοὺς προσκομίσαντας.*
**ΑΚΟΛΟΥΘΙΑ ΥΨΩΣΕΩΣ ΤΗΣ ΠΑΝΑΓΙΑΣ,** ΕΝ ΜΝΗΜΗι ΕΟΡΤΑΖΟΜΕΝΟΥ ΑΓΙΟΥ. *Κατὰ τὰς μνήμας ἑορταζομένων ἁγίων ἡ ἀκολουθία τελεῖται μέχρι καὶ τῆς δοξολογικῆς κατακλείδος τῆς Κυριακῆς προσευχῆς κατὰ τὴν ἀνωτέρω διατυπωθεῖσαν διὰ τὰς δεσποτικάς καὶ θεομητορικὰς ἑορτὰς τάξιν. Μετὰ τὸ Ὅτι σοῦ ἐστιν ἡ βασιλεία… τὸ ἀπολυτίκιον τοῦ ἑορταζομένου ἁγίου. Καὶ ἀκολούθως˙*
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
**Τ**ῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.
*Καὶ ἡ ἐκτενὴς ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ἀποκρινομένου ἐν ἑκάστῃ δεήσει το Κύριε, ἐλέησον (τρὶς)˙*
**Ἐ**λέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ (*καὶ μνημονεύει τῶν ὀνομάτων τῶν προσκομισάντων τὰς προσφορὰς),* τῶν ἐπιτελούντων τὴν ἁγίαν ἑορτὴν ταύτην καὶ προσφερόντων τὰ δῶρα ταῦτα.
*Ὁ ἱερεὺς˙* **Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ὁ χορός˙* Ἀμήν.
*Ὁ ἱερεὺς ὑψοῖ τὰς μερίδας τῆς Θεοτόκου λέγων μεγαλοφώνως˙*
**Μέγα τὸ ὄνομα**
*Καὶ ὁ λαός˙*
**τῆς Ἁγίας Τριάδος.**
*Καὶ πάλιν ὁ ἱερεὺς κινῶν τὰς μερίδας σταυροειδῶς˙*
**Ὑπεραγία Θεοτόκε, βοήθει ἡμῖν.**
*Ὁ δὲ λαός˙*
**Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**
*Μετὰ δὲ τὴν ὕψωσιν ψάλλομεν˙*
**Γ**έγονεν ἡ κοιλία σου ἁγία τράπεζα, ἔχουσα τὸν οὐράνιον ἄρτον, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐξ οὗ πᾶς ὁ τρώγων οὐ θνήσκει, ὡς ἔφησεν ὁ τοῦ παντός, Θεογεννῆτορ, τροφεύς.
**Τ**ῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου, ἄχραντε.

**Ἄ**ξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.
*Εἶθ' οὕτως ἡ ἀπόλυσις ὑπὸ τοῦ ἱερέως˙*
**Δ**όξα σοι, Χριστὲ ὁ Θεὸς,...**Δ**ι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. *Ὁ χορός˙* Ἀμήν. *Ὁ ἱερεὺς διανέμει τὰς μερίδας (ὑψώματα) εἰς τοὺς προσκομίσαντας.*
**ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΥΨΩΣΕΩΣ** ΤΗι ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΠΑΣΧΑ
*Κατὰ τὴν λαμπροφόρον ἡμέραν τοῦ Πάσχα δὲν ἀκολουθεῖται ἡ προδιαγραφεῖσα διὰ τὰς δεσποτικάς καὶ θεομητορικὰς ἑορτὰς τάξις ἀλλὰ ἡ ὕψωσις τελεῖται ὡς ἀκολούθως. Πρὸ τῆς ἐνάρξεως τῆς ἀκολουθίας αἱ προσφοραὶ τοποθετοῦνται ἐπὶ τῆς ἐν τῷ σολέᾳ προητρεπισμένης τραπέζης ὁλόκληροι, χωρίς νὰ ἀποκοπῇ ἐξ αὐτῶν ἡ μερίς τῆς Θεοτόκου. Καὶ ἄρχεται ἡ ἀκολουθία οὕτως˙ Ὁ διάκονος˙*Εὐλόγησον, δέσποτα. *Ὁ ἱερεὺς˙*
**Ε**ὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ὁ χορός˙* Ἀμήν. *Ὁ ἱερεὺς˙*
**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατὴσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. *Είτα ο χορός ψάλλει το αυτό δὶς. Καὶ ἡ ἐκτενὴς ὑπὸ τοῦ διακόνου, τοῦ χοροῦ ἀποκρινομένου ἐν ἑκάστῃ δεήσει το* Κύριε, ἐλέησον (τρὶς)˙
**Ἐ**λέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ (καὶ μνημονεύει τῶν ὀνομάτων τῶν προσκομισάντων τὰς προσφορὰς), τῶν ἐπιτελούντων τὴν ἁγίαν ἑορτὴν ταύτην καὶ προσφερόντων τὰ δῶρα ταῦτα. *Ὁ ἱερεὺς˙* **Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ὁ χορός˙* Ἀμήν. *Ὁ ἱερεὺς ὑψοῖ τὰς προσφορὰς ὁλοκλήρους λέγων μεγαλοφώνως˙*
Χριστὸς ἀνέστη.
*Ὁ δε λαός αποκρίνεται˙*
Ἀληθῶς ἀνέστη.
*Καὶ πάλιν ὁ ἱερεὺς κινῶν τὰς προσφορὰς σταυροειδῶς˙*
Δόξα τῇ αὐτοῦ τριημέρῳ ἐγέρσει.
*Καὶ ὁ λαός˙*
Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.
*Μετὰ δὲ τὴν ὕψωσιν ψάλλομεν˙*
**Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ ἀγγέλου˙ Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τὶ ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα˙ δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον˙ ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.
**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν˙ καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος˙ Χαίρετε, καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.
**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατὴσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. (*Τρὶς*)
*Ὁ ἱερεὺς τὴν ἀπόλυσιν˙***Δ**όξα σοι, Χριστὲ ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. *Ὁ ἀναγνώστης˙* Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (τρὶς). Πάτερ ἅγιε, εὐλόγησον. *Ὁ ἱερεὺς˙*
**Ὁ** ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,...ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατὴσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. *Ὁ χορός˙* Ἀληθῶς ἀνέστη ὁ Κύριος. *Ὁ ἱερεὺς διανέμει τὰς προσφορὰς εἰς τοὺς προσκομίσαντας.*
*Κατὰ τὴν αὐτήν τάξιν τελεῖται ἡ ἀκολουθία καὶ καθ' ὅλην τὴν Διακαινήσιμον ἑβδομάδα, ὅταν ἑορτάζεται μνήμη ἁγίου. Ὅμως μετὰ τὴν ἐναρκτήριον εὐλογίαν καὶ τὸ Χριστὸς ἀνέστη… τρὶς, ψάλλεται τὸ ἀπολυτίκιον τοῦ ἑορταζομένου ἁγίου καὶ τὸ θεοτοκίον Τῇ πρεσβείᾳ, Κύριε… τοῦ ὁποίου προτάσσεται τὸ Δόξα, καὶ νῦν καὶ ἀκολουθοῦν ἡ ἐκτενὴς καὶ τὰ λοιπὰ, ὡς διετάχθησαν ἀνωτέρω. Κατὰ τὴν ἀπόλυσιν τῆς ἀκολουθίας μνημονεύεται ὁ ἑορταζόμενος ἅγιος, ὡς συνήθως.*

## ΕΙΣ ΠΛΑΚΟΥΝΤΑ ΑΓΙΟΥ ΦΑΝΟΥΡΙΟΥ

*Δέησις ὑπὸ τοῦ Ἱερέως:*
**Ἐ**λέησον ἡμᾶς ὁ Θεός..
**Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν..
**Ἔ**τι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, ἀντιλήψεως, θείας βοηθείας καὶ μακροημερεύσεως τῶν δούλων τοῦ Θεοῦ

τῶν προσφερόντων τὰ δῶρα ταῦτα *(**δείνων** ἤτοι, κατ᾽ ὄνομα μνημόνευσις).*
*ὁ Ἱερεὺς ἀναγινώσκει τὴν Εὐχήν. …*
…………………………………………………
*Εὐχὴ εἰς πίτταν τοῦ Ἁγίου Φανουρίου*
**Κ**ύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τὸν Μάρτυρά Σου Φανούριον, τὸν ἐν Ρόδῳ Νεοφανῆ, χαριτώσας καὶ διὰ πολλῶν θαυμάτων τὴν πρὸς Σὲ εὐαρέστησιν αὐτοῦ πιστοποιήσας,
**Σ**οῦ δεόμεθα, Δέσποτα, ταῖς αὐτοῦ πρεσβείαις, πλήρωσον τὰ αἰτήματα τῶν καρδιῶν, τῶν πιστῶν δούλων Σου, τῶν προσφερόντων Σοι τὰ δῶρα ταῦτα (***δείνων***) ὑγείας, ἐνισχύσεως, ὑπερβάσεως πάντων τῶν δυσχερῶν εἰς προκοπὴν καὶ χαρὰν αὐτῶν.
**Φ**ανέρωσον, δι᾽εὐχῆς τοῦ Μεγαλομάρτυρος πᾶν κεκρυμένον ἢ ἀπωλεσθὲν ἐπιθυμητὸν ἀγαθόν, φανέρωσον πρόσωπον ποθητόν, φανέρωσον ὁδὸν ἀγαθήν, ἐν ᾗ δεῖ πορευθῆναι αὐτοὺς ἀσφαλῶς, φανέρωσον πᾶσαν ἐν τῷ μέλλοντι χαράν, φανέρωσον τὸ ἔκπαγλον καὶ θεῖον Πρόσωπόν Σου, χαρμοσύνως καὶ κατανυκτικῶς, καταλαμπρύνον καὶ κατευφραῖνον τὴν ζωήν αὐτῶν.
**Ὅ**τι Σὺ εἶ ἡ ζωὴ καὶ τὸ Φῶς, τὸ φανερωθὲν ἐν τῷ κόσμῳ, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

………………………………………………
**[Ἑτέρα Εὐχὴ εἰς πίτταν Ἁγίου Φανουρίου.**
**Ἀναγινωσκομένη κατὰ τὴν ἑορτὴν αὐτοῦ, ΚΖ’ Αὐγούστου.**
**Κ**ύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τὸν Μάρτυρά Σου Φανούριον, τὸν ἐν Ρόδῳ Νεοφανῆ, χαριτώσας καὶ διὰ πολλῶν θαυμάτων τὴν πρός Σε εὐαρέστησιν αὐτοῦ πιστοποιήσας,
**Σ**ὲ ὑμνοῦμεν καὶ δοξάζομεν ὑπὲρ πάντων τούτων τῶν θαυμασίων Σου καὶ ὑπὲρ τοῦ ὅτι οὐκ ἀφύλακτον ἢ ἀπρονόητον καὶ ἀσυμπαραστάτητον τὴν ζωὴν ἡμῶν εἴασας.
**Δ**ιὸ δεόμεθά Σου Δέσποτα, ταῖς αὐτοῦ πρεσβείαις, ἐπὶ τῇ ἐπισήμῳ ταύτῃ καὶ λαμπρᾷ πανηγύρει καὶ χαρμοσύνῳ μνήμῃ τῆς τελειώσεως αὐτοῦ, πλήρωσον τὰ αἰτήματα τῶν καρδιῶν, ἡμῶν, τῶν πιστῶν δούλων Σου, ἐξαιρέτως δὲ τῶν

πανηγυριζόντων ἀδελφῶν ἡμῶν, τῶν προσφερόντων τοὺς πλακοῦντας καὶ ἐγκρυφίας τούτους (δείνων). Ἔμπλησον τὰς καρδίας αὐτῶν πίστεως καὶ ἀγάπης, τῆς ἄνωθεν εἰρήνης καὶ τοῦ Σοῦ ἁγιασμοῦ. Δώρησαι πᾶν ἀγαθὸν δώρημα τέλειον εἰς τὴν ψυχὴν καὶ τὴν ζωὴν αὐτῶν, ἀγαλλίασιν οὐράνιον, σύνεσιν καὶ σοφίαν πνευματικήν, ἀπαλλαγὴν ἀπὸ παντὸς πειρασμοῦ καὶ πάσης θλίψεως, **οἰκογενειακὴν ἀποκατάστασιν** ἐν ἐκτενῇ ὁμονοίᾳ, εὐσεβείᾳ καὶ εἰλικρινείᾳ, τὴν αὐτάρκειαν τῶν ἐπιουσίων ἀγαθῶν, ὑγείαν ἀκλόνητον καὶ θαλλεράν, ἀκμὴν ψυχῆς τε καὶ σώματος, καὶ εἴ τι δὲ ἄλλο ἡ θεοφιλὴς αὐτῶν καρδία ἐπιποθεῖ καὶ αἰτεῖται παρὰ Σοῦ, τοῦ Μόνου Δωρεοδότου.

**Φ**ανέρωσον, δι᾽εὐχῆς τοῦ Μεγαλομάρτυρος πᾶν κεκρυμένον ἢ ἀπωλεσθὲν ἐπιθυμητὸν ἀγαθόν, φανέρωσον πρόσωπον ποθητόν, φανέρωσον πᾶσαν ἐν τῷ μέλλοντι χαράν, φανέρωσον παγίδας τοῦ ἐχθροῦ, ἵνα ἐγκαίρως προστατευθῶσι καὶ ἀποσοβήσωσι βλάβην τινά, φανέρωσον αὐτοῖς ὁδοὺς εἰς σωτηρίαν, φανέρωσον τὸ Πρόσωπόν Σου, τὸ ἐν Φωτὶ Ἀκτίστῳ, χαρμοσύνως καὶ κατανυκτικῶς, ἐν εὐνοίᾳ καὶ Χάριτι, καταφωτίζον καὶ κατευφραῖνον καὶ καταλαμπρύνον τὴν ζωὴν αὐτῶν.

**Ὅ**τι Σὺ εἶ ἡ ζωὴ καὶ τὸ Φῶς, τὸ φανερωθὲν ἐν τῷ κόσμῳ καὶ τὴν Ἀλήθειαν καὶ τὴν Δόξαν φανερῶσαν ἐν ἡμῖν, καὶ Σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν καὶ τὴν προσκύνησιν ἀναπέμπομεν σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

……………………………………………

*Εἶτα κατακόπτει σταυροειδῶς τὸν πλακοῦντα, ἐπιλέγων·*

**Μ**έγα τὸ ὄνομα τῆς Ἁγίας Τριάδος.

**Ε**ἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

**Ε**ἰς βοήθειαν καὶ ἀντίληψιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν μνημονευθέντων καὶ προσενεγκάντων τὰ δῶρα ταῦτα καὶ εἰς ἐκπλήρωσιν τῶν αἰτημάτων τῶν καρδιῶν αὐτῶν.

**Ε**ἰς ὑγείαν ψυχῆς καὶ σώματος καὶ εἰς πλησμονὴν παντὸς ἀγαθοῦ.

Οἱ δὲ χοροὶ σὺν τῷ λαῷ ψάλλουσιν.

**ΑΠΟΛΥΤΙΚΙΑ ΑΓΙΟΥ ΦΑΝΟΥΡΙΟΥ**

*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

**Ο**ὐράνιον ἐφύμνιον ἐν γῇ τελεῖται λαμπρῶς. Ἐπίγειον πανήγυριν νῦν ἑορτάζει φαιδρῶς Ἀγγέλων πολίτευμα. Ἄνωθεν ὑμνωδίαις εὐφημοῦσι τοὺς ἄθλους, κάτωθεν Ἐκκλησία τὴν οὐράνιον δόξαν, ἣν εὗρες πόνοις καὶ ἄθλοις τοῖς σοῖς, Φανούριε ἔνδοξε.

**Ὡ**ς ἄστρον ἀνέτειλας τῇ Ἐκκλησίᾳ Χριστοῦ καὶ πάντας κατηύγασας φανερωθεὶς θαυμαστῶς, Φανούριε ἔνδοξε. Ὅθεν τοῖς εὐφημοῦσι τὴν σὴν ἄθλησιν, Μάρτυς, νέμεις τῶν σῶν θαυμάτων τὴν σωτήριον χάριν, πρεσβεύων τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Κοντάκιον**

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

**Ἱ**ερεῖς διέσωσας αἰχμαλωσίας ἀθέου καὶ δεσμὰ συνέθλασας δυνάμει θείᾳ θεόφρον, ᾔσχυνας τυράννων θράση γενναιοφρόνως, ηὔφρανας Ἀγγέλων τάξεις, Μεγαλομάρτυς. Διὰ τοῦτό σε τιμῶμεν, θεῖε ὁπλῖτα, Φανούριε ἔνδοξε.

**Δ**ι᾿ εὐχῶν...*Οἱ δὲ πανηγυρισταὶ διανέμουσι τὴν πίτταν εἰς τὸ ἐκκλησίασμα.*

**Κόλλυβα αγίων** *(δεν προσφέρουμε για τον Χριστό, τους Αρχαγγέλους και τον Προφήτη Ηλία).**<u>Γενικῶς ἐπί ἑορταζομένων ἁγίων:</u>***

*Πληρωθείσης τῆς ὀπισθαμβώνου εὐχῆς, ψάλλει ὁ δεξιός χορός τό ἀπολυτίκιον τοῦ ἁγίου, ὁ ἀριστερός «Δόξα...» τό κοντάκιον αὐτοῦ καί ὁ δεξιός «Καὶ νῦν... Τῇ πρεσβείᾳ, Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων» εἰς α΄ ἦχον. <u>Σημ.:</u> Ἑορτάζοντος καί ἑτέρου ἁγίου, στό «Δόξα...» λέγεται τό κοντάκιον τοῦ ἑτέρου ἁγίου. Ἐάν τύχῃ τό κοντάκιον νά ἀναφέρῃ τήν Θεοτόκον, καταλιμπάνεται τό «Τῇ πρεσβείᾳ, Κύριε...».*

*Είς τάς ἀγρυπνίας τοῦ προφήτου Ἠλιοῦ καί τῶν Ἀρχαγγέλων οὐ γίνονται κόλλυβα. Τό ὅμοιον καί είς τό Γενέθλιον τοῦ Προδρόμου καί τῆς Θεοτόκου καί τά Είσόδια αὐτῆς καί τήν Ὑπαπαντήν. Εἴς τινας Μονάς προτίθενται κόλλυβα τῆς Θεοτόκου μόνον είς τήν Κοίμησιν.*

**«Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρπούς είς ἀπόλαυσιν καὶ τροφήν ἡμετέραν, ὁ τοῖς σπέρμασι τοὺς Τρεῖς Παῖδας καὶ Δανιὴλ τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας, αὐτός, πανάγαθε Βασιλεῦ, καὶ τὰ σπέρματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον· ὅτι είς δόξαν σήν, Κύριε, καὶ είς τιμήν καὶ μνήμην τοῦ ἁγίου** *καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος,* **ταῦτα προετέθησαν παρὰ τῶν σῶν δούλων καὶ είς μνημόσυνον τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων. Παράσχου δὲ ἀγαθέ, τοῖς τε εὐτρεπίσασι ταῦτα καὶ τοῖς τὴν μνήμην ἐπιτελοῦσι,πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ Ἁγίου** *καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος,* **οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, και ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»**

**Ευχή επί κολλύβων**

**……………………………………………………..**

**Ο Θεός ο Παντοκράτωρ, ο ποιήσας τον ουρανόν και την γην, την θάλασσα και πάντα τα εν αυτοίς, ο ευλογήσας τους πέντε άρτους εν τη ερήμω και εξ αυτών πεντακισχιλίους άνδρας χορτάσας, αυτός ευλόγησον και τους καρπούς τούτους και τους μεταλαμβάνοντας εξ αυτών επί υγεία και σωτηρία των ψυχών και των σωμάτων αυτών και τοις προσενέγκασι μισθόν ουράνιον παράσχου, πρεσβείες** *της*

*Αχράντου Δεσποίνης ημών Θεοτόκου και Αειπαρθένου Μαρίας είς την Κοίμησην και την Ιεράν Μετάστασην Αυτής εις τους ουρανούς* **εορτάζομεν !**

**Ότι ηυλόγηται και δεδόξασται το πάντιμον και μεγαλοπρεπές όνομά σου, του Πατρός και του Υιού και του Αγίου Πνεύματος, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν**

**………………………………………….**

**Ακολουθία του Αγιασμου επι ευλογήσει νέου οχήματος**

*ΙΕΡΕΥΣ:* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *ΑΝΑΓΝΩΣΤΗΣ*: Ἀμήν. *Ἀπολυτίκιον τοῦ Μάρτυρος Ἦχος δ' , Ταχὺ προκατάλαβε*

Στολαῖς ταῖς ἐξ αἵματος, ὡραϊζόμενος, Κυρίῳ παρίστασαι, τῷ Βασιλεῖ οὐρανῶν, Χριστοφόρε ἀοίδιμε· ὅθεν σὺν Ἀσωμάτων, καὶ Μαρτύρων χορείαις, ᾄδεις τῇ τρισαγίῳ, καὶ φρικτῇ μελῳδίᾳ· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, σῷζε τοὺς δούλους σου.

Δόξα…και νυν…ηχος πλ. δ'

Παναγία Θεοτόκε Παρθένε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι, ἐν τῷ ψάλλειν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕμνον.

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ'). Δόξα… Καὶ νῦν… Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. *Διάκονος*: Δύναμις.Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. *ΙΕΡΕΥΣ*(Δ):Πρόσχωμεν. *Προκείμενον, ο ΑΝΑΓΝΩΣΤΗΣ*: ο κατοικων εν βοηθεία του υψίστου εν σκέπη του Θεου του ουρανου αυλισθήσεται. *ΑΝΑΓΝΩΣΤΗΣ*: τοις αγγέλοις αυτου εντελειται περι σου του διαφυλάξαι σε εν πάσαις ταις οδοις σου. *ΙΕΡΕΥΣ(Δ):*Σοφία.*ΑΝΑΓΝΩΣΤΗΣ*:Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. *ΙΕΡΕΥΣ*(Δ): Πρόσχωμεν. (*θυμια*) *ΑΝΑΓΝΩΣΤΗΣ (Κεφ. Β', 11-18)*

αδελφοί, οι άγιοι πάντες, μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.Τοιγαρουν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι'

ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες είς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν. *ΙΕΡΕΥΣ*: Εἰρήνη σοι. *ΑΝΑΓΝΩΣΤΗΣ*: Καὶ τῷ Πνεύματί σου. *ΧΟΡΟΣ*: Ἀλληλούϊα (3). *Ἦχος πλ. β'.ΙΕΡΕΥΣ(Δ):* Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. (Ι) Εἰρήνη πᾶσι. *ΧΟΡΟΣ*: Καὶ τῷ Πνεύματί σου. *ΙΕΡΕΥΣ*: Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. (Δ) Πρόσχωμεν. *ΧΟΡΟΣ*: Δόξα σοι, Κύριε, δόξα σοι. *ΙΕΡΕΥΣ:* ειπεν ο Κύριος: ο Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν. ειπεν ουν πάλιν ο Ιησους: Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν˙ ἔρχεται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι.Ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. περιπατεῖτε ἕως τὸ φῶς ἔχετε.*ΧΟΡΟΣ*: Δόξα σοι, Κύριε, δόξα σοι.*ΙΕΡΕΥΣ*: Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν. *ΧΟΡΟΣ*: Κύριε ἐλέησον *[καὶ μετὰ ἀπὸ κάθε αἴτηση]*
*ΙΕΡΕΥΣ*: Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (*δεῖνος*), παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.
υπέρ του δούλου του Θεου (*δεινος*) και της εν Θεω βοηθείας αυτου, του Κυρίου δεηθωμεν.
Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμας, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.*ΧΟΡΟΣ*: Σοὶ Κύριε. *ΙΕΡΕΥΣ*: Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν

καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. *ΧΟΡΟΣ*: Ἀμήν.*Ι ΕΡΕΥΣ*(Δ): Τοῦ Κυρίου δεηθῶμεν.ΧΟΡΟΣ: Κύριε ἐλέησον *Ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν τοῦ ῾Αγιασμοῦ.*

Κύριε ὁ Θεὸς ημῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ είς γλυκύ μεταποιήσας καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ ᾿Ελισσαίου ἅλατι θεραπεύσας καὶ τὰ ᾿Ιορδάνεια ῥεῖθρα ἁγιάσας τῇ ἀχράντῳ Σου ἐπιφανείᾳ, Αὐτὸς καὶ νῦν, Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο τῇ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ῾Αγίου Σου Πνέυματος , και ποίησον αυτό γενέσθαι πᾶσι τοῖς ἀρυομένοις καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ εὐλογίας πηγήν, ἰατρεῖον παθῶν, ἁγιασμὸν οἴκων, πάσης ἐπιβουλῆς ὁρατῆς τε καὶ ἀοράτου ἀλεξιτήριον.

*Εκφώνως.* Ὅτι σόν τό κράτος καί σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί είς τούς αἰνῶνας τῶν αιώνων. *ΧΟΡΟΣ*: Ἀμήν. *ΙΕΡΕΥΣ*: Είρήνη πᾶσι.ΧΟΡΟΣ: Καὶ τῷ Πνεύματί σου.*ΙΕΡΕΥΣ*(Δ): Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. *ΧΟΡΟΣ*: Σοὶ Κύριε. *Ὁ Ἱερεύς, κλινόμενος, λέγει μυστικῶς τὴν Εὐχὴν ταύτην·* Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα· καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διὰ τῆς του ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ καὶ γενέσθω ἡμῖν, Κύριε, είς ὑγείαν ψυχῆς τε καὶ σώματος. (*ΕΚΦΩΝΩΣ*) Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.

*ΧΟΡΟΣ*: Ἀμήν.*Εἶτα, λαβὼν τὸν τίμιον Σταυρόν, εὐλογεῖ τὰ ὕδατα ἐκ τρίτου, κατάγων καὶ ἀνάγων αὐτὸν ὄρθιον, καὶ ψάλλων.Ἦχος α'.*

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα (ἐκ γ').

*Εἶτα, ῥαντίζων σταυροειδῶς, ψάλλει τὸ παρὸν Τροπάριον. Ἦχος β'.*

Τῶν σῶν δωρεῶν, ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου, Ἄχραντε.

*Καὶ ἀσπάζεται ὁ Ἱερεύς τὸν τίμιον Σταυρὸν ὡσαύτως δὲ καὶ ἅπας ὁ λαός, μεταλαμβάνοντες δ' ἅμα καὶ ἐκ τοῦ ἁγιάσματος.* (Ι) του Κυρίου δεηθωμεν. (Χ) Κύριε, ελέησον. (Ι): Κύριε Ιησου Χριστέ, ο Θεός ημων, ο παραγενόμενος επί σωτηρία του γένους των ανθρώπων, ο εν ουρανω τω θρόνω εποχούμενος, και εν γη πεζη περιαγαγώv τας πόλεις και τας κώμας, εις δε την αγίαν πόλιν μικρόν πρό του εκουσίου Πάθους επί πώλου όνου καθεζόμενος εισελθών. ο δι' Αγγέλου σου Φιλίππω τω διακόνω λαλήσας ίνα αναστάς πορευθη κατά μεσημβρίαν επί την οδόν την καταβαίνουσαν από Ιερουσαλήμ εις Γάζαν και προσελθών κολληθη τω άρματι του αιθίοπος, όν και, μετά το ευαγγελίσασθαι αυτω επί του άρματος σέ τον αμνόν του Θεου, τον αίροντα την αμαρτίαν του κόσμου και μετά το πιστευσαι αυτόν εξ όλης καρδίας ειναι σε τον Υιόν του Θεου, στάντος του άρματος και καταβάντων αμφοτέρων, εβάπτισεν. αυτός Δέσποτα, ευλόγησον και το όχημα τουτο και δός τω δούλω σου *(τω δεινι)* ίνα πορεύηται την οδόν αυτου χαίρων και τελειώση τον δρόμον αυτου και την διακονίαν, ην έλαβε παρα σου. Το γαρ τον δρόμον τελέσαι, ου του θέλοντος ουδέ του τρέχοντος, αλλά του ελεουντος Θεου. διόπερ και δεόμεθά σου δός ημιν Άγγελον φωτεινόν, ίνα πορεύηται έμπροσθεν ημων, ρυόμενος ημας, ή εν νυκτί ή εν ημέρα, από παντός κακου και ίνα, Πνεύματι Θεου αγόμενοι, τρέχωμεν καλως και μή εις κενόν κοπιωμεν. Σύ γαρ ει η οδός και η αλήθεια και η ζωή και σοί την δόξαν και ευχαριστίαν αναπέμπομεν συν τω ανάρχω σου Πατρί και τω Παναγίω και αγαθω και ζωοποιω σου Πνεύματι, νυν και αεί και εις τους αιωνας των αιώνων. (Χ): αμήν. *ειθ'ούτως η συνήθης Απόλυσις.*

## ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΚΥΠΡΙΑΝΟΥ ΔΙΑΛΥΟΥΣΑ ΤΑ ΜΑΓΙΑ

**ΕΥΛΟΓΗΤΟΣ Ο ΘΕΟΣ ΗΜΩΝ ΠΑΝΤΟΤΕ ΝΥΝ ΚΑΙ ΑΕΙ ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΑΙΩΝΑΣ ΤΩΝ ΑΙΩΝΩΝ.(Εις το όνομα του Πατρός και του Υιού και του Αγίου Πνεύματος). Αμήν.**Δόξα σοι ο Θεός ημών, **δόξα σοι.** Βασιλεύ ουράνιε, ...ΟΤΙ ΣΟΥ ΕΣΤΙΝ…
(Δι' ευχών των άγιων Πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός ημών, ελέησον ημάς). Αμήν.
Ν΄ΨΑΛΜΟΣ
*Ἦχος δ'*
Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, είς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Κυπριανέ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
*Κοντάκιον.Ἦχος α΄. Χορὸς Ἀγγελικός.*
Ἐκ τέχνης μαγικῆς, ἐπιστρέψας θεόφρον, πρὸς γνῶσιν θεϊκήν, ἀνεδείχθης τῷ κόσμῳ, ἀκέστωρ σοφώτατος, τὰς ἰάσεις δωρούμενος, τοῖς τιμῶσί σε, Κυπριανὲ σὺν Ἰουστίνῃ· μεθ' ἧς πρέσβευε, τῷ Φιλανθρώπῳ Δεσπότῃ, σωθῆναι τοὺς δούλους σου.
*Καί τα παρόντα τροπάρια, ήχος πλ. δ'.*
Κύριε, όπλον κατά του διαβόλου, τον Σταυρόν σου ημιν δέδωκας, φρίττει γαρ και τρέμει, μη φέρων καθοραν αυτου την δύναμιν. Ότι νεκρούς ανιστα, και θάνατον κατήργησε. Διά τουτο προσκυνουμεν, την ταφήν σου και την έγερσιν.

Σταυρός ο φύλαξ πάσης της Οικουμένης, Σταυρός η ωραιότης της Εκκλησίας, Σταυρός βασιλέων το κραταίωμα, Σταυρός πιστων το στήριγμα, Σταυρός Αγγέλων η δόξα καί των δαιμόνων το τραύμα.

Συντριβήτωσαν υπό την σημείωσιν του Τιμίου και Ζωοποιού Σταυρού Σου πάσαι αι εναντίαι δυνάμεις (*τρις*).
Βοήθεια ημων εν ονόματι Κυρίου, του ποιήσαντος τον ουρανόν και την γην.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν ὁ κρατῶν καί κυβερνῶν τά πάντα, Ἅγιος καί δεδοξασμένος ὑπάρχεις. Διό Βασιλεῦ τῶν Βασιλευόντων καί Κύριε τῶν κυριευόντων, δόξα Σοι. Ὁ καθήμενος ἐν τῷ φωτί τῷ ἀπείρῳ καί ἀπροσίτῳ βροτοῖς, ὅπερ εἶδον δυνάμεις χιλιάδες καί μυριάδες Ἁγίων Ἀγγέλων καί Ἀρχαγγέλων. Σύ γιγνώσκεις τά κρύφια του ταπεινοῦ δούλου σου Κυπριανοῦ. Ὅτι οὐκ ἐγίνωσκον πρότερον τά σά θαυμάσια Κύριε παντοδύναμε. Σύ εἶ μόνος Κύριος Ἰησοῦς Χριστός, ὁ Θεός ἡμῶν. Ὁ εὐδοκήσας ἐξ ἀναξίου γενέσθαί με ἄξιον καί συζησάμενος τῷ ἐν σοί πόθῳ καί ἀγάπη πρός ἀκοήν τῶν Ἁγίων σου Ἀποστόλων καί Ἱερομαρτύρων καί πάντων σου τῶν Ἁγίων.

Παρακαλῶ δέ τήν σήν φιλανθρωπίαν, ἵνα ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερπερισσεύση ἡ χάρις σου Κύριε, ὅτι ἐκράτουν τά νέφη καί οὐκ ἔβρεχον, ἔδενον τήν γῆν καί οὐκ ἔδιδε τούς καρπούς αὐτῆς. Τάς ἀμπέλους καί οὐκ ἐβλάστανον, τά ποίμνια τῶν προβάτων καί οὐκ ἐποίουν γάλα, τά αἰγίδια καί οὐκ ἐγέννων, τούς ἄνδρας καί οὐκ ἐσμίγοντο μετά τῶν γυναικῶν αὐτῶν, τάς μητέρας καί οὐκ ἐτεκνοποίουν, τά πλοῖα καί οὐκ ἔπλεον, τά ἐργαστήρια καί οὐκ εἰργάζοντο, τούς ἁλιεῖς καί οὔχ ἠλίευον, τούς κήπους καί οὐκ ἐποίουν λάχανα, τά δένδρα καί οὐκ ἐκαρποφόρουν, τούς ποταμούς καί οὐκ ἔτρεχον, τούς μύλους καί οὐκ ἐγύριζον, τούς ἀδελφούς καί ἀνδρόγυνα είς ἀφιλίωτον ἔχθραν ἔφερον καί τούς διεχώριζον. ἐποίουν τό θέρος χειμωνα καί τόν χειμωνα θέρος, ταῦτα πάντα είργαζόμην φαντασία τελεία.

Ἄρτι δε, Κύριε ὁ Θεός ἡμῶν, ἱκετεύω Σέ καί παρακαλῶ, ἵνα διά τῆς ἐμῆς προσευχῆς ἐνώπιόν Σου, Θεέ καί Κύριε τοῦ Ἐλέους, ὡς Θυσία εὐπρόσδεκτος γενέσθω Σοί. Καί πᾶς ἄνθρωπος ἔχων πνεῦμα πονηρίας καθαρισθῆ ὅλως. Ἤ αγρός ἤ κῆπος ἤ κτῆμα ἤ μύλος ἤ πλοῖον ἤ ἁλιεύς ἤ μελίσσιον ἤ ἔμπορος ἤ ἐπιστήμων ἤ ἄρχων ἤ ἀρχόμενος ἤ τεχνίτης ἤ μεταξοσκώληξ ἤ καί ὁ δοῦλος τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* σύν παντί τῷ οἴκῳ αὐτοῦ. Ἄν εἶναι δεδεμένος μέ μαγείας καί πονηρά ἔργα ἤ γοητείας ἤ ἀπό 72 γλωσσοφαγιῶν ἐστίν ἐμποδισμένος καί μαγευμένος καί ἐγκλείη 365 λόγια τῆς

Μαγείας, ἅτινα ἔρχονται πρός βλάβην καί κατανάλωσιν τοῦ δούλου τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* σύν παντί τῷ οἴκῳ αὐτοῦ.

Παρευθύς ὅπου ἀναγνωσθῇ ἡ παροῦσα ἱκετήριος δέησις καί προσευχή μου ἐνώπιον τῆς Σῆς χάριτος τοῦ Θεοῦ ἐλευθερωθῇ πᾶς ὁ κόσμος καί τόπος ἐκ πάσης ὀργῆς τε καί ἀσθενείας καί ἐκ παντός δεσμοῦ καί μαγείας καί πάσης φαρμακείας καί γοητείας, πάσης βασκανίας καί καταλαλιᾶς, γλωσσοφαγιᾶς, ἀμελείας ἤ νωθρότητος, ἀκρατείας, ἀφροσύνης, ἀδυναμίας καί ἀπογνώσεως, πάσης ἀδικίας καί πάσης πλάνης ἤ ἀπάτης, ἤ ἐμποδίου προερχομένων ὑπό τοῦ διαβόλου ὁμοίως καί ὁ δοῦλος τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* σύν παντί τῷ οἴκῳ αὐτοῦ. Καί ἔστω λελυμένος καί λελυτρωμένος ἐν τῷ ὀνόματι τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Καί εἴτε ἐν τῷ οὐρανῷ εἰσίν αἱ μαγεῖαι καί τά φαρμακεύματα ἐκεῖνα ἤ ἐν τῇ γῇ ἤ ἐν τῇ θαλάσσῃ ἤ ἐν παντί τόπω καί ἐδάφει εὐθύς τῇ ὥρα ταύτη λυθήσονται καί καταργηθήσονται ἀπό τοῦ δούλου τοῦ *Θεοῦ (ὄνομα πάσχοντος)* καί ἀπό παντός τοῦ οἴκου αὐτοῦ καί ἐλευθερωθήσεται ὁ δοῦλος τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* καί πᾶς ὁ οἶκος αὐτοῦ ἀπό πάσης ὥρας πονηρᾶς καί γοητείας ἤ ὀφθαλμῶν πονηρῶν ἤ φθόνου ἤ καταλαλιᾶς ἤ γλωσσοφαγιᾶς ἤ μαγείας ἤ φαρμακείας ἤ κατάρας ἤ ἀναθέματος ἤ ἀφορισμοῦ καί πάσης βλασφημίας ἤ ἐνεργείας του. Εὐθέως ἀναχωρήσατε ἀπό τοῦ δούλου τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* πᾶσα ἡ ἐπήρεια τοῦ πονηροῦ ἐπί τῇ ἐπικλήσει τοῦ Παναγίου Σου Ὀνόματος τοῦ Πατρός καί τοῦ μονογενοῦς Υἱοῦ καί τοῦ Ἀγαθοῦ καί Ζωοποιοῦ Πνεύματος καί διά τῆς προσευχῆς ἐμοῦ τοῦ ταπεινοῦ καί εὐλαβοῦς δούλου σου Κυπριανοῦ φεύξονται οἱ δαίμονες, δραπετευθήσονται καί καταργηθήσονται αἱ πονηρίαι αὐτῶν, καί τά νέφη δώσωσιν ὑετόν ἐπί πᾶσαν τήν γῆν, καί ἡ γῆ δώση τά γεννήματα αὐτῆς εἰς τόν καιρόν αὐτῶν, καί τά δένδρα καρποφορήσωσι, καί οἱ ἀμπελῶνες εὐφορήσωσι πλῆθος βοτρύων, καί αἱ γυναῖκες λυθήσωνται καί ἐλευθερωθήσωνται ἀπό τοῦ κακοῦ τῶν μητρῶν αὐτῶν.

Ὁμοίως καί τά κτήνη τῶν ποιμένων καί πᾶς ὁ κόσμος, ἄρχων, ἤ ἀρχόμενος, ἤ κῆπος, ἤ μελισσουργός, ἤ μεταξουργός καί πᾶσα ἡ κτίσις λυθήσεται ἀπό παντός δεσμοῦ καί δαίμονος. Ὁμοίως καί ὁ δοῦλος τοῦ Θεοῦ *(ὄνομα πάσχοντος),* σύν παντί τῷ οἴκῳ αὐτοῦ καί τοῖς πράγμασιν αὐτοῦ, καί ἔστω ἐλεύθερος καί λελυτρωμένος ἀπό πάσης ἀσθενείας καί ὥρας κακῆς καί παντός δαίμονος καί ἀντικειμένης δυνάμεως δεόμεθά Σου, ἵνα λυθῶσι καί ἀφανισθῶσι τά πονηρά ἔργα διά τῆς ἐπικλήσεως τοῦ Παναγίου Πνεύματος τοῦ Θεοῦ Σαβαώθ.

Καί εἰ ἐν τῷ Οὐρανῷ ἔστι δεδεμένος καί ἐμποδισμένος ὁ δοῦλος τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* λυθήτω, ἤ ἐν τῇ γῇ, ἤ ἐν ἀνωφλίω λυθήτω, ἤ ἐν κατωφλίω, ἤ ἐν δέρματι ἀλόγου, ἤ ἐν σιδήρω, ἤ ἐν λίθω, ἤ ἐν ξύλω ἐκάρφωσαν τά πονηρά ἔργα, λυθήτωσαν καί ὡσεί καπνός ἐκλιπέτωσαν, ἤ ἐν γραμματίω διά μελάνης, ἤ αἵματος ἀνθρώπου, ζώου, πτηνοῦ, ἰχθύος, ἤ διά μολύβδου, ἤ διά κινναβάρεως, ἤ διά ζωμοῦ λεμονιοῦ, ἤ δι’ ἄλλου τινός ἔγραψαν αὐτά καί ἔθηκαν ἐν τινι τόπω καί διεσκέλισεν αὐτά ὁ δοῦλος τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* πρός βλάβην αὐτοῦ τῇ ὥρα ταύτη λυθήτωσαν καί καταργηθήτωσαν καί ἐκριζωθήτωσαν τά τῆς μαγείας ἔργα ἀπό τούς τόπους καί κατοικίας ἐκεῖ ὅπου ἀναγινώσκεται ἡ δέησίς μου καί προσευχή αὕτη, ἤ ἐν αὐλαῖς τοῦ οἴκου αὐτοῦ κατέχωσαν, ἤ διέσπειραν αὐτά, ἤ μετάλλου τινός ἐποίησαν τά κομβοδέματα ἐκεῖνα λυθήτωσαν, ἤ εἰς κόκκαλα διεπέρασαν αὐτά, ἤ ἐν τῇ θαλάσση, ἤ ἐν φρέατι, ἤ ἐν μνήματι ἐρρίφθησαν λυθήτωσαν, ἤ μέ ὄνυχας ἀνθρώπων, ζώων, ἤ πτηνῶν ζώντων ἤ τεθνεώτων, ἤ μέ χῶμα τεθνεώτων ἐποίησαν τά φάρμακα ἐκεῖνα λυθήτωσαν, ἤ ὑπό πλακός ἐπλακώθησαν ἤ ἀπό πασσάλους, ἤ καρφιοῦ ἐκαρφώθησαν, ἤ διά βελόνης ἐπέρασαν αὐτά, λυθήτωσαν τήν ὥραν ταύτην, ἤ διά ἀργύρου, ἤ χρυσοῦ, ἤ δι’ ἄλλου τινός μετάλλου ἐποίησαν τά πονηρά ἔργα λυθήτωσαν τήν ὥραν ταύτην, ἤ διά μαλλίου, ἤ βαμβακίου, ἤ μετάξης, ἤ λινάρεως, ἤ κανάβεως, ἤ δι’ ἄλλου τινός χόρτου ἔδεσαν ταῦτα λυθήτωσαν τήν ὥραν ταύτην, ἤ εἰς κράββατον κατέχωσαν αὐτά λυθήτωσαν τήν ὥρα ταύτην, ἤ διά βρόχου, βούρλου ἤ ἄλλου τινός ἔδεσαν, λυθήτωσαν τήν ὥραν ταύτην, ἤ ἐν ὕδατι

ἐποίησαν αὐτά ἤ κούφῳ ξύλῳ ἤ κοχλάζοντι ὕδατι ἄν ἔβρασαν αὐτά λυθήτωσαν τήν ὥραν ταύτην, ἤ ἐν αἵματι ἀνθρώπου, ζώου, ἤ πτηνοῦ, ἤ ἰχθύος ζώντων ἤ τεθνεώτων ἐποίησαν αὐτά ὡς σύ, Κύριε ὁ Θεός ἡμῶν γινώσκεις τούς τόπους καί τρόπους καί τούς ἀνθρώπους, λυθήτωσαν τήν ὥραν ταύτην καί διαρρηχθήτωσαν τά τῆς μαγείας ἔργα ἔνθα κεῖνται, καί τόν μέν δοῦλον σου *(ὄνομα πάσχοντος)* διαφύλαξον σύν παντί τῷ οἴκῳ αὐτοῦ, τά δέ πονηρά ἔργα λυθήτωσαν καί ἀπωλεσθήτωσαν καί ὡσεί καπνός ἐκλιπέτωσαν ἀπό τόν δοῦλον τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* ἐν ὀνόματι τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος καί διά τῆς δόξης τοῦ Μεγάλου Θεοῦ τοῦ Ζῶντος συντριβήτωσαν τῇ δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυροῦ πᾶσαι αἱ ἐναντίαι δυνάμεις, ἀναχωρησάτωσαν τά τῆς Μαγείας ἔργα καί ἀπομακρυνθήτωσαν ἀπό τόν δοῦλον τοῦ Θεοῦ *(ὄνομα πάσχοντος)* μίλια 65, πρεσβείαις τῶν μαρτύρων καί πάντων τῶν Ἁγίων σου. Ἀμήν.

Δεόμεθά σου καί παρακαλοῦμεν σε, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ἵνα ἐλευθερώσῃς καί ζωώσῃς πᾶσαν ψυχήν πεπεδημένην καί τόν δοῦλον *(ὄνομα πάσχοντος)* σύν παντί τῷ οἴκῳ αὐτοῦ ὁμοίως καί τούς γράφοντας καί ἔχοντας ἐν τῷ οἴκῳ αὐτῶν τήν προσευχήν μου αὐτήν καί τούς βαστάζοντας αὐτήν ὡς φυλακτήριον αἰώνιον, καί ἡ δεξιά σου Κύριε εἴη αὐτοῖς σκέπη καί βοήθεια καί ἔστω διά παντός ἐν τῷ οἴκῳ αὐτῶν χαρά καί ἀγαλλίασις.

Ναί, Κύριε, δεομένου σου ἐπάκουσόν μου, ἵνα ὅπου εὑρίσκεται ἡ εὐκτήριος καί ἱκετηρία αὕτη εὐχή μου λυθῇ καί ἐλευθερωθῇ πᾶς ἄνθρωπος καί ὁ οἶκος αὐτοῦ ἀπό κακῆς ὥρας, ἀπό πάσης ἀσθενείας, παντός ἀφορισμοῦ τε καί ἀναθέματος, ἀπό πάσης κατάρας, ἀπό πάσης ὀργῆς, ἐμποδίου, δυσπραγίας, καταλαλιᾶς, γλωσσοφαγιᾶς, φθόνου, βασκανίας, ἀμελείας, νωθρότητος, λαιμαργίας, ἀδυναμίας, βλακείας, ἀκρατείας, ἀφροσύνης, ὑπερηφανείας, ἀσπλαγχνίας, ἀδικίας, ἀλαζονείας καί πάσης πλάνης καί ἀπάτης διά τό Ὄνομά Σου τό Ἅγιον καί δεδοξασμένον είς τούς Αἰώνας. Ἀμήν.

ΑΠΟΛΥΣΙΣ (Ή ΔΙ΄ΕΥΧΩΝ…)

*(Η ευχή της βασκανίας διαβάζεται μόνο από ιερέα και όχι από λαϊκούς- ΛΑΪΚΟΣ ΣΤΟΝ ΕΑΥΤΌ ΤΟΥ ΜΠΟΡΕΙ ΝΑ ΤΙΣ ΔΙΑΒΑΖΕΙ σαν προσευχή).*

## ΤΑΞΙΣ ΤΕΛΕΤΗΣ ΚΟΠΗΣ ΒΑΣΙΛΟΠΙΤΤΑΣ

Ὁ διάκονος˙ Εὐλόγησον, Δέσποτα.

Ὁ ἱερεύς˙ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε˙ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός˙ Ἀμήν.*(εάν ειναι Κυριακή και το αναστάσιμον απολυτίκιον)*

Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.

Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ᾽ οὐσίαν πολυεύσπλαγχνε Κύριε˙ καὶ Νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχει σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ˙ δόξα τῇ εὐσπλαγχνίᾳ σου˙ δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου.

Ἀπολυτίκιον τοῦ Ἱεράρχου. Ἦχος α΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου˙ δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα αἱ ἑξῆς αἰτήσεις τῆς ἐκτενοῦς ὑπὸ τοῦ διακόνου, τῶν χορῶν ψαλλόντων ἐκ περιτροπῆς ἀνὰ ἓν τριπλοῦν Κύριε, ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητος τοῦ Κυρίου καὶ γενέσθαι αὐτὸν εἰρηνικὸν καὶ σωτήριον.

Ἔτι δεόμεθα ὑπὲρ ... (καὶ μνημονεύει τῶν ὑπὲρ ὧν γίνεται ἡ κοπὴ τῆς Βασιλόπιττας) τῶν ἀπεκδεχομένων τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν εὐχήν·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος καὶ τὴν ζωὴν ἡμῶν εἰς χεῖρας σου διακρατῶν, ἐπάκουσον ἡμῶν δεομένων σου ἐν τῇ εὐσήμῳ ἡμέρᾳ ταύτῃ, ἐπὶ τῇ εἰσόδῳ ἡμῶν εἰς τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητός σου, καὶ εὐλόγησον τοὺς πλακοῦντας τούτους τοὺς προσφερομένους εἰς δόξαν σὴν καὶ τιμὴν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου Ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας. Ἐπίβλεψον μεγαλόδωρε ἐξ οὐρανοῦ ἁγίου σου καὶ κατάπεμψον ἐφ᾿ ἡμᾶς, τούς τε τὰ δῶρα ταῦτα εὐτρεπίσαντας καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας, τὰς οὐρανίους δωρεάς σου, ὅτι ἐπὶ σοὶ ἠλπίκαμεν, τῷ ζῶντι Θεῷ, εἰς τοὺς αἰῶνας. Εὐλόγησον τὰς εἰσόδους καὶ ἐξόδους ἡμῶν, πλήθυνον ἐν ἀγαθοῖς τὴν ζωὴν ἡμῶν καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν θείων σου ἐντολῶν, ὅτι οὐκ ἐπ᾿ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. Πρεσβείαις τῆς παναχράντου σου Μητρός, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου καὶ πάντων σου τῶν Ἁγίων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς τὴν Ἀπόλυσιν·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, [καὶ ἀναστὰς ἐκ νεκρῶν] Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείας τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν Ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, οὐρανοφάντορος τοῦ Μεγάλου, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν...Ὁ χορός· Ἀμήν.

**<u>ευχή σταφυλιων 6-8</u>**

***Ἀντὶ τοῦ «Ε****ἴδομεν τό φῶς...»*

***ὁ α' χορός***

***Ἦχος βαρὺς***

***Μ****ετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο, Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου,* ***φωτοδότα δόξα σοι.***

*μετά την οπισθάμβωνον ευχή ψάλλουμε το απολυτίκιο της Μεταμορφώσεως, δόξα...και νυν...κοντάκιον και ο ιερέας την ευχή*

**Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τῆς ἀμπέλου τὸν νέον, ὃν διὰ τῆς τοῦ ἀέρος εὐκρασίας, καὶ τῶν σταγόνων τῆς βροχῆς, καὶ τῆς τῶν καιρῶν γαλήνης εἰς ταύτην τὴν ὡριμοτάτην στάσιν ἐλθεῖν ηὐδόκησας, ἵνα ᾖ ἐν ἡμῖν τοῖς ἐξ αὐτοῦ τοῦ γεννήματος τῆς ἀμπέλου μεταλαμβάνουσιν εἰς εὐφροσύνην, καὶ τοῖς προσενέγκασι δῶρον εἰς ἐξιλασμὸν ἁμαρτιῶν, διὰ τοῦ ἱεροῦ καὶ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

**Ἀπόλυσις**
**«...῾Ο ἐν τῷ ὄρει τῷ Θαβώρ μεταμορφωθείς ἐν δόξῃ ἐνώπιον τῶν ῾Αγίων αὐτοῦ Μαθητῶν καί ᾽Αποστόλων, Χριστός ὁ ἀληθινός...».**
**Δι'εὐχῶν...**
**Ἀ**μήν.

## Εὐχὴ , Εἰς τὸ Εὐλογῆσαι Τυρὸν καὶ Ὠά.

"Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἀπάντων, εὐλόγησον τὸ γάλα τὸ πεπηγός, σὺν αὐτῷ δὲ καὶ τὰ ωά. Ἡμᾶς δὲ συντήρησον ἐν τῇ χρηστότητί σου, ὅπως οἱ μεταλαμβάνοντες αὐτῶν, τῶν σῶν ἀφθονοπαρόχων δωρεῶν, ἐμπλησθῶμεν καὶ τῆς ἀνεκλαλήτου σου ἀγαθότητος. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν."

## ΕΥΧΗ ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΕΔΕΣΜΑΤΑ ΚΡΕΩΝ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ

Ευλογητός ο Θεός ημων…Χριστός ανέστη (3)
Του Κυρίου δεηθωμεν
Επίσκεψαι, Κύριε Ιησου Χριστέ, ο Θεός ημων, τα εδέσματα των κρεων και αγίασον αυτά, ως ηγίασας τον αμνόν, όν σοι προσήγαγεν ο πιστός Αβραάμ, και τον αρνόν, όν περ Άβελ σοί προσήνεγκεν εις ολοκάρπωσιν. Ομοίως και τον μόσχον τον σιτευτόν, όν θυσαι εκέλευσας τω υιω σου τω πεπλανημένω, και πάλιν επανελθόντι προς σε. Ίνα, καθώς αυτός ηξιώθη της σης χάριτος απολαυσαι, ούτω και των αγιασθέντων υπό σου και ευλογηθέντων απολαύσωμεν εις τροφήν πάντων ημων.
Συ γαρ ει η αληθινή τροφή και ο δοτήρ των αγαθων, και σοι την δόξαν αναπέμπομεν, συν τω ανάρχω σου Πατρί, και τω παναγίω και αγαθω, και ζωοποιω σου Πνεύματι, νυν και αεί και εις τους αωνας των αιώνων. Αμήν.

## *1-2, Ο εξορκισμός του Αγίου Μάρτυρος Τρύφωνος εις κήπους, αμπελωνας και χωράφια*

Ὄντος μου ἐν Λαμψάκου κώμη καί τάς χήνας ἐπιμελουμένου καί βόσκοντος, ὀργή κατῆλθεν ἀπό Θεοῦ παντοκράτορος, οὐκ εἰς τόν τόπον ἐκεῖνον μόνον ἀλλά καί εἰς τάς κύκλω περιχώρους, τουτέστιν ὀργή πρός πάσαν ἄμπελον, χωραν τε καί κῆπον, ἀθρόως τῶν φύλλων καί τῶν καρπῶν βριθομένων, μαραινομένων καί ἀφανιζομένων. Ὁρῶν ουν ἐγώ ὁ ἐλάχιστος Τρύφων οὕτω τηκομένους τούς καρπούς, καί διά ταύτην τήν αἰτίαν δαπανωμένους τούς ἀνθρώπους - τῷ παντελεῖ ἀφανισμῶ τῶν καρπῶν τῆς γης τῶν τε χωραφίων, ἀμπέλων, κήπων καί λαχάνων καί παντοίων δένδρων τῷ τοιούτω ὀλέθρω παραδιδομένων - διαπονηθείς ἐδεήθην πρός τόν Κύριον καί Θεόν μου, τοῦ γενέσθαι ἀφανῆ πάντα τά θηρία, τά πρός ἀδικίαν καί φθοράν ὑπάρχοντα τῶν τε κήπων καί χωραφίων, καί ἀμπέλων, καί παντοίων δένδρων τε καί λαχάνων καί μάλιστα τῶν τήν κώμην ἐκείνην οἰκούντων τῆς παρακειμένης λίμνης, καί πρός ὑπόκλησιν καί πρόσκλησίν μου παραγενομένων. Καί δή εἰς προσευχήν κλίναντός μου τό γόνυ, καί τάς χειρας πρός τόν Θεόν ἐκπετάσαντος, ὁ εἰσακούων τῶν εἰς αὐτόν πεποιθότων Θεός, αὐτός ἐξαπέστειλεν ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ Ἄγγελον, τοῦ πατάξαι πᾶν φυλον καί πᾶν γένος κακούργων θηρίων, των αδικούντων την άμπελον, την χώραν τε και τον κηπον των δούλων αυτου, ο και των θηρίων τούτων τά ὀνόματα σαφῶς ἐπιστάμενος. οια κάμπη, σκώληξ, σκωληκάμπη, σκάνθαρος, βροῦχος, ἀκρίς, ἐπίμαλος καλιγάρις, μακρόπους, μύρμηγξ, φθείρ, ρυγίτης, ψυλλίτης, καυλοκόπος, ἐρυσίβη, κοχλοί, ψαλίτης, καί εἴτι ἄλλο προσφυσῶν καί μαραῖνον τόν καρπόν τῆς σταφυλῆς, καί τῶν λοιπῶν εἰδῶν καί λαχάνων. οὐ μήν δέ, ἀλλά καί αὐτός ἐγώ ὅρκω ταῦτα ἐδέσμουν, τοῦ μηκέτι τούς τόπους τῶν ἐμέ προσκαλουμένων ἐπιβαίνειν τούτους καί διατρίβειν, ἀλλ' ἐπί ἀβάτων τόπων ἐπέταξα ἀπελθεῖν.

*Ὁ δέ ὅρκος τοιοῦτός εστιν.*

Ὁρκίζω ὑμᾶς κατά τῶν αγίων πολυομμάτων Χερουβίμ, καί τῶν

ἐξαπτερύγων Σεραφίμ, τῶν ἱπταμένων κύκλω τοῦ θρόνου, καί κραζόντων τό Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, είς δόξαν Θεοῦ Πατρός, Ἀμήν. Ὁρκίζω ὑμᾶς κατά τῶν ἅγιων Ἀγγέλων, καί πάσης Δυνάμεως, καί τῶν μυρίων μυριάδων, καί χιλίων χιλιάδων, τῶν φόβω πολλῶ ἱσταμένων κατενώπιον της δόξης Κυρίου, μή ἀδικήσητε τήν ἅμπελον, μήτε τήν χώραν, μήτε τόν κῆπον τῶν δένδρων τε καί λαχάνων τοῦ δούλου τοῦ Θεοῦ (*δεῖνος*), ἀλλά ἀπέλθετε είς τά ἄγρια ὅρη, είς τά ἄκαρπα ξύλα, είς ἅ ἐχαρίσατο ὑμιν ὁ Θεός τήν καθημερινήν τροφήν. Ὁρκίζω ὑμᾶς κατά τοῦ Τιμίου Σώματος καί Αἵματος Χριστου τοῦ ἀληθινοῦ Θεοῦ καί Σωτηρος ἡμῶν, δι' οὗ καί ἡ σωτηρία ἐδόθη ἡμιν καί ἀπολύτρωσις καί ὑπέρ οὗ μέλλομεν ἀποθνήσκειν. μή ἀδικήσητε μήτε τήν χώραν μήτε τήν ἅμπελον, μήτε τόν κῆπον, μήτε πᾶν δένδρον κάρπιμόν τε καί ἄκαρπον, ἥ φύλλον λαχάνων ἀδικήσητε, ἐκ τοῦ περιορισμοῦ καί τόπου τοῦ δούλου τοῦ Θεοῦ (*δεῖνος*), εἰ δέ παρακούσητέ μου, καί παραβῆτε τόν ὅρκον, ὅν ὥρκισα ὑμᾶς, ούκ ἕχετε πρός ἐμέ τόν ταπεινόν καί ἐλάχιστον Τρύφωνα, ἀλλά πρός τόν Θεόν τοῦ Ἀβραάμ, καί Ἰσαάκ, καί Ἰακώβ, τόν ἐρχόμενον κριναι ζωντας καί νεκρούς. Διό, καθώς προεῖπον ὑμιν, ὑπάγεται είς τά ἄγρια ὅρη καί είς τά ἄκαρπα ξύλα. Εἰ δέ μή ἀκούσητέ μου, ἱκετεύειν μέλλω τόν φιλάνθρωπον Θεόν, τοῦ ἀποστεῖλαι τόν Ἄγγελον αὐτοῦ τόν ἐπί τῶν θηρίων, καί σιδήρω καί μολύβδω δήσει ὑμᾶς καί ἀποκτενεῖ, ἀνθ' ὧν ὅρκους καί τήν προσευχήν ἐμοῦ τοῦ ταπεινοῦ ἠθετήσατε Τρύφωνος. ἀλλά καί οἱ στρουθοί, πεμπόμενοι δι' ἐμῆς προσευχῆς καταφάγονται ὑμᾶς. Ἔτι ὁρκίζω ὑμᾶς κατά τοῦ μεγάλου Ὀνόματος, τοῦ ἐπί τῆς πέτρας ἐπιγραφέντος, καί μή βαστασάσης, ἀλλά διαρραγείσης, ὡσεί κηρός ἀπό προσώπου πυρός. Ἐξέλθετε ἐκ τῶν καθ' ἡμᾶς, είς οὗς προεῖπον ὑμιν τόπους ἀβάτους καί ἀνύδρους, καί ἀκάρπους, ἐξέλθετε ἀπό τοῦ τόπου καί περιορισμοῦ τῶν δούλων τοῦ Θεοῦ, τῶν καμέ προσκαλουμένων είς βοήθειαν αὐτῶν καί ἀντίληψιν καί σωτηρίαν. ἵνα καί ἐν τούτοις δοξασθῆ τό πανάγιον ὅνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, καί αι προσευχαί, καί αι αἰτήσεις τοῦ ταπεινοῦ

Τρύφωνος ἐκπληρωθῶσιν. Ὅτι τῷ Θεῶ πρέπει δόξα, κράτος, είς τούς αἰωνας τῶν αἰώνων. Ἀμήν.
Ι. ειρήνη πασι. Χ. και τω πνεύματί σου. Ι. τας κεφαλάς ημων τω Κυρίω κλίνωμεν. Χ. σοί, Κύριε. Δ. του Κυρίου δεηθωμεν. Χ. Κύριε, ελέησον.
Ι. Δέσποτα Κύριε, Ιησου Χριστέ, ο Θεός ημων, ο εν τη ενσάρκω σου οικονομία ευλογήσας την Βηθλεέμ και την Γεθσημανη, και τον οικον Ιακώβ - ος ευλογηθείς, Ισραήλ μετωνομάσθη - . ο και τον οικον Δαυΐδ ευλογήσας. αυτός ευλόγησον και το κτημα τουτο, και ποίησον αυτό επ'ευλογίαις καρποφορειν. πρεσβείαις της παναχράντου Δεσποίνης ημων Θεοτόκου και αειπαρθένου Μαρίας. δυνάμει του τιμίου και ζωοποιου Σταυρου. προστασίαις των τιμίων επουρανίων Δυνάμεων Ασωμάτων. του τιμίου και ενδόξου προφήτου, προδρόμου και βαπτιστου Ιωάννου. των αγίων ενδόξων και πανευφήμων Αποστόλων. των αγίων ενδόξων και καλλινίκων Μαρτύρων. των αγίων ενδόξων μεγάλων Μαρτύρων Τρύφωνος, Ευσταθίου και Ιουλιανου. του Αγίου (*τουδε*, ου την μνήμην επιτελουμεν) και πάντων σου των Αγίων.
ότι συ ει ο ευλογων και αγιάζων τα σύμπαντα, Χριστέ ο Θεός ημων, και σοί την δόξαν αναπέμπομεν, συν τω ανάρχω σου Πατρί και τω παναγίω και αγαθω και ζωοποιω σου Πνεύματι, νυν και αεί και εις τους αιωνας των αιώνων. αμήν.

## ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ, ΕΥΧΑΙ ΠΕΡΙΣΤΑΤΙΚΑΙ, ΕΥΧΗ ΕΠΙ ΒΑΣΚΑΝΙΑΝ

**Εις το όνομα του Πατρός και του Υιού και του Αγίου Πνεύματος. Αμήν.**Δόξα σοι ο Θεός ημών, **δόξα σοι.**

Βασιλεύ ουράνιε, παράκλητε, το Πνεύμα της αληθείας, ο πανταχού παρών και τα πάντα πληρών, ο θησαυρός των αγαθών και ζωής χορηγός, ελθέ και σκήνωσον εν ημίν, και καθάρισον ημάς από πάσης κηλίδος, και σώσον, Αγαθέ, τας ψυχάς ημών.

Δόξα Πατρί, και Υιώ και αγίω Πνεύματι. Καί νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

**Παναγία Τριάς, ελέησον ημάς, Κύριε, ιλάσθητι ταίς αμαρτίαις ημών. Δέσποτα, συγχώρησον τας ανομίας ημίν. Άγιε, επισκεψαι και ίασαι τας ασθενείας ημών, ένεκεν του ονόματός σου, Κύριε ελέησον, Κύριε ελέησον, Κύριε ελέησον.**

Δόξα Πατρί, και Υιώ και αγίω Πνεύματι. Καί νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Πάτερ ημών ο εν τοις ουρανοίς, αγιασθήτω το όνομά σου, έλθετω η βασιλεία σου, γενηθήτω το θέλημά σου, ως εν ουρανώ και επί της γης. Τον άρτον ημών τον επιούσιον δος ημίν σήμερον, και άφες ημίν τα οφειλήματα ημών ως και ημείς αφίεμεν τοις οφειλέταις ημών, και μη εισενέγκης ημάς εις πειρασμόν, αλλά ρύσαι ημάς από του πονηρού.

Δι' ευχών των άγιων Πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός ημών, ελέησον ημάς. Αμήν.

Καί τα παρόντα τροπάρια, ήχος πλ. δ'.

Κύριε, όπλον κατά του διαβόλου, τον Σταυρόν σου ημίν δέδωκας, φρίττει γαρ και τρέμει, μη φέρων καθοράν αυτού την δύναμιν. Ότι νεκρούς ανιστά, και θάνατον κατήργησε. Διά τούτο προσκυνούμεν, την ταφήν σου και την έγερσιν.

Άγιοι Ανάργυροι και θαυματουργοί, επισκέψασθε τας ασθενείας ημών, δωρεάν ελάβετε, δωρεάν δότε ημίν.

**Αθλοφόρε άγιε και ιαματικέ Παντελεήμων, πρέσβευε τω ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.**

**Μέγαν εύρατο εν τοις κινδύνοις, σε υπέρμαχον η οικουμένη, αθλοφόρε τα έθνη τροπούμενον. Ως ούν Λυαίου καθείλες την έπαρσιν, εν τω σταδίω θαρρύνας τον Νέστορα, ούτως άγιε, μεγαλομάρτυς Δημήτριε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ήμιν το μέγα έλεος.**

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξον με υπό την σκέπην σου.

Και την παρούσαν Ευχήν.

Κύριε ὁ Θεός ἡμῶν, ὁ Βασιλεύς τῶν αἰώνων, ὁ Παντοκράτωρ καί Παντοδύναμος, ὁ ποιῶν πάντα καί μετασκευάζων μόνω τῷ βούλεσθαι, ὁ ἐν τήν ἑπταπλάσιον καμίνον καί τήν φλόγα τήν ἐν Βαβυλώνι είς δρόσον μεταβαλων καί τούς ἁγίους σου τρεῖς παίδας σώους διαφύλαξας, ὁ Ἰατρός καί Θεραπευτής τῶν ψυχῶν ἡμῶν, ἡ ἀσφάλεια τῶν είς σέ ἐλπιζόντων, σού δεόμεθα καί σέ παρακαλοῦμεν, ἀποστησον, φυγάδευσον καί ἀπέλασον πάσαν διαβολικήν ἐνέργειαν, πάσαν σατανικήν ἔφοδο καί πάσαν ἐπιβουλήν, περιέργειαν τέ πονηρᾶν καί βλάβην καί ὀφθαλμῶν βασκανίαν τῶν κακοποιῶν καί πονηρῶν ἀνθρώπων ἀπό τοῦ δούλου σου (τοῦδε) καί ἤ ὑπό ὡραιότητος ἤ ἀνδρείας ἤ εὐτυχίας ἤ ζήλου καί φθόνου ἤ βασκανίας συνέβη, αὐτός, φιλάνθρωπε Δέσποτα, ἔκτεινον τήν κραταίαν σου χείρα καί τόν βραχίονά σου τόν ἰσχυρόν καί ὕψιστον καί ἐπισκόπων ἐπισκόπησον τό πλάσμα σου τοῦτο, καί καταπεμψον αὐτῷ ἄγγελον κραταιόν, εἰρηνικόν, ψυχῆς καί σώματος φύλακα, ὅς ἐπιτιμήσει καί ἀπελάσει ἀπ’ αὐτοῦ πάσαν βλάβην, πάσαν πονηρᾶν βουλήν, πάσαν φαρμακείαν καί βασκανίαν τῶν φθονερῶν ἀνθρώπων, καί ὑπό σου ὁ σός ἱκέτης φρουρούμενος μετ’ εὐχαριστίας ψάλλει σοί, Κύριος ἐμοί βοηθός καί οὐ φοβηθήσομαι τί ποιήσει μοί ἄνθρωπος, καί πάλιν οὐ φοβηθήσομαι κακά, ὅτι σύ μετ’ ἐμοῦ εἰ ὅτι σύ εἰ ὁ Θεός, κραταίωμά μου, ἰσχυρός, ἐξουσιαστής, ἀρχῶν εἰρήνης, Πατήρ τοῦ μέλλοντος αἰῶνος. Ναί, Κύριε ὁ Θεός ἡμῶν, φεῖσαι τοῦ πλάσματός σου, καί ρύσαι τόν δοῦλο σου (δεῖνα) ἀπό

πάσης βλάβης, ἀπό πάσης ἐπηρείας καί ἀπό πάσης βασκανίας καί ἀνώτερον αὐτόν καί ἡμᾶς παντός κακοῦ διαφύλαξον, πρεσβείαις τῆς ὑπερευλογημένης ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας, τῶν φωτοειδῶν Ἀρχαγγέλων καί πάντων σου τῶν ἁγίων. Ἀμήν.

Δι’ ευχών των αγίων Πατέρων ημών Κύριε Ιησού Χριστέ ο Θεός ημών, ελέησον ημάς. Αμήν.

Η ευχή δε της βασκανίας διαβάζεται μόνο από ιερέα και όχι από λαικούς. (ΚΑΙ ΛΑΪΚΟΣ ΣΤΟΝ ΕΑΥΤΌ ΤΟΥ ΜΠΟΡΕΙ ΝΑ ΤΙΣ ΔΙΑΒΑΖΕΙ).

*http://www.vimaorthodoxias.gr/proeuchi/item/74143-%CF%80%CF%81%CE%BF%CF%83%CE%B5%CF%85%CF%87%CE%AE-%CE%B3%CE%B9%CE%B1-%CE%B2%CE%B1%CF%83%CE%BA%CE%B1%CE%BD%CE%AF%CE%B1*

**Ξεμάτιασμα για μικρά παιδιά**

*Με ένα κομμάτι βαμβάκι, βουτηγμένο στο λάδι από το καντήλι, "σταυρώνουμε" το μέτωπο του παιδιού που θέλουμε να ξεματιάσουμε. Στη συνέχεια λέμε τα εξής λόγια:*

Σταυρός ο φύλαξ πάσης της Οικουμένης,
Σταυρός η ωραιότης της Εκκλησίας,
Σταυρός βασιλέων το κραταίωμα,
Σταυρός πιστών το στήριγμα,
Σταυρός Αγγέλων η δόξα καί των δαιμόνων το τραύμα.
Εξηγόρασας ημάς εκ της κατάρας του νόμου τω Σταυρώ προσηλωθείς και τη λόγχη κεντηθείς την αθανασίαν επήγασας ημίν Σωτήρ ημών Δόξα Σοι.

Ευχή Β.
Εξορκίζω υμάς, δαιμόνια πονηρά, δια του Πατρός και του Υιού και του Αγίου Πνεύματος, και διά πασών των αγγελικών και

θείων δυνάμεων των τω Θεώ υπηρετουσών και των Αγίων Αυτού μαθητών και Αποστόλων του έχειν δύναμιν και εξουσίαν επί του πλάσματος του Θεού *(το όνομα του πασχόντος)* και του οίκου αυτού. Φυγαδεύθητε, άθλιοι και πονηροί, εντεύθεν. Εκλείπειν υμάς ποιήσαι Κύριος, ως εκλείπει καπνός από προσώπου πυρός, και μη έχειν εξουσίαν πόνους και φόβους επιφέρειν, ζημίαν ή κακόν τι έτερον εν τω σώματι και ταις σαρξίν και τοις μέλεσι τούτου του πλάσματος του Θεού *(όνομα πασχόντος),* ή του οίκου αυτού διά του Κυρίου ημών Ιησού Χριστού, του ελευσομένου κρίναι ζώντας και νεκρούς.

Ευχή Γ.

Κύριε ο Θεός ημών ο Παντοκράτωρ και παντοδύναμος, ο ποιητής του ουρανού και της γης και κτίστης πάντων, συγγνώμην παράσχου μοι και τω δούλω Σου τούτω, εις όσα Σοί ημάρτομεν, ως άνθρωποι. Ναι, ο Θεός του Αβραάμ, Ισαάκ και Ιακώβ, ο Θεός των Αγγέλων Μιχαήλ, Γαβριήλ και Ραφαήλ, Χερουβίμ, Σεραφείμ, Εξουσιών, Δυνάμεων και πάντων των Προφητών, Πατριαρχών, Μαρτύρων, Ομολογητών, φύλαξον τον δούλο Σου *(όνομα πασχόντος)* του μη αδικήσαι αυτόν ή βλάψαι τι κακόν ή μαντικόν ή τον αρχαίκακον διάβολον και τους υπουργούντας αυτώ, ή κακόν άνθρωπον, ή γυναίκα, εν νυκτί και ημέρα, εν γη, εν θαλάσση, εν οδώ, ή περιπάτω, εν σπηλαίω, εν οίκω, εν χώρα, εν χωρίω, εν αγρω και εν οιωδήποτε τινί τόπω, εν οράσει ή εν ακοή, πίνοντα, τρώγοντα, αναγινώσκοντα, καθεύδοντα, αγρυπνούντα, εργαζόμενον, εν γέλωτι, εν οφθαλμοίς, εν νώτω, εν μικτήρσιν, εν στόμασι εν φάρυγγι, εν οδούσι, εν γλώσση, εν στήθεσι, εν χερσί, εν βραχίονι, εν δακτύλοις, εν κοιλία, και υπογαστρίοις, εν ύπατι και εντοσθίοις πάσιν, εν χολή και αίματι, εν σαρκί και δέρματι και πάσι τοις μέλεσι του ανθρώπου τούτου, ένδωθεν και έξωθεν, από ποδών έως κεφαλής. Ναι, Παντοκράτορ Κύριε, ελευθέρωσον τον δούλον Σου *(όνομα πάσχοντος),* από πάσης μαγείας, μαντείας, δεσμού και παντός κακού.

Και ώς ηλευθέρωσας τον Αδάμ εξ Άδου, τον μακάριον Πέτρον εκ της φυλακής, τον Παύλον, το σκεύος της εκλογής, εκ των

δεσμών δια του Αγίου Πνεύματος, τον παραλυτικόν εκ του κρεββάτου, τον Λάζαρον εκ του τάφου, τον Ισραηλιτικόν λαόν εκ της θαλάσσης, τον Ιωνάν εκ της κοιλίας του κήτους, τον Λώτ εκ Σοδόμων, τους τρείς παίδας εκ της καμίνου του πυρός, τον Δανιήλ εκ των λεόντων, Νώε εκ του κατακλυσμού, Μαρίαν την Μαγδαληνήν εκ των επτά ακαθάρτων πνευμάτων, ούτως Δέσποτα ελευθέρωσον και τον δούλον Σου *(όνομα πάσχοντος)* εκ του δεσμού πάσης μαγείας, μαντείας, φαρμακείας και εκ πάσης πονηράς επιβουλής των εχθρών ημών, ορατών τε και αοράτων και μη εχέτωσαν δύναμιν, μηδέ εξουσίαν επηρεάζειν. Και η ειρήνη του Μονογενού Σου Υιού έστω μετ' αυτού. Αμήν.

***Ευχή Δ'.***

"Κύριε ο Θεός ημών, ο Βασιλεύς των αιώνων, Ο Παντοκράτωρ και Παντοδύναμος, ο ποιών πάντα και μετασκευάζων μόνω τω βούλεσθαι, ο την επταπλάσιον κάμινον και την φλόγα την εν Βαβυλώνι εις δρόσον μεταβαλων και τους αγίους σου τρείς παίδας σώους διαφυλάξας, ο Ιατρός και Θεραπευτής των ψυχών ημών, η ασφάλεια των εις σε ελπιζόντων, σου δεόμεθα και σε παρακαλούμεν, απόστησον, φυγάδευσον και απέλασον πάσαν διαβολικήν ενέργειαν, πάσαν σατανικήν έφοδον και πάσαν επιβουλήν, περιέργειάν τε πονηράν και βλάβην και οφθαλμών βασκανίαν των κακοποιών και πονηρών ανθρώπων απο του δούλου σου ( *τούδε*) και ή υπο ωραιότητος ή ανδρείας ή ευτυχίας ή ζήλου και φθόνου ή βασκανίας συνέβη, αυτός, φιλάνθρωπε Δέσποτα, έκτεινον την κραταιάν σου χείρα και τον βραχίονά σου τον ισχυρόν και ύψιστον και επισκοπων επισκόπησον το πλάσμα σου τούτο και κατάπεμψον αυτώ Άγγελον ειρηνικόν, κραταιόν, ψυχής και σώματος φύλακα, ός επιτιμήσει και απελάσει απ΄αυτού πάσαν βλάβην, πάσαν πονηράν βουλην, πάσαν φαρμακείαν και βασκανίαν των φθοροποιών και φθονερών ανθρώπων' ίνα ύπο σου ο σός ικέτης φρουρούμενος μετ΄ευχαριστίας ψάλη σοί "Κύριος εμοί βοηθός και ου φοβηθήσομαι, τί ποιήσει μοι άνθρωπος;" και πάλιν "Ου φοβηθήσομαι κακά, ότι συ μετ΄εμού ει", ότι συ εί ο Θεός, κραταίωμα μου, ισχυρός εξουσιαστής, άρχων ειρήνης, πατήρ του μέλλοντος αιώνος. Ναί Κύριε, ο Θεός ημών, φείσαι

του πλάσματός σου και σώσον τον δούλον σου από πάσης βλάβης και επηρείας της εκ βασκανίας γινομένης και ανώτερον αυτόν παντός κακού διαφύλαξον, πρεσβείαις της υπερευλογημένης ενδόξου Δεσποίνης ημών Θεοτόκου και αειπαρθένου Μαρίας, των φωτοειδών Αρχαγγέλων και πάντων σου των αγίων. Αμήν.
*http://drixoutispanagiotis.blogspot.gr/2010/06/blog-post_376.html*

**Εὐχὴ είς γυναῖκα λεχώ,**
**τῇ πρώτῃ ἡμέρᾳ τῆς γεννήσεως**
**τοῦ παιδίου αὐτῆς.**

*Εἰσέρχεται ὁ Ἱερεὺς ἐν τῷ οἴκῳ ἔνθα τὸ βρέφος ἐγεννήθη καὶ ἵσταται πρὸ τοῦ πυλῶνος φέρων τὸ ἐπιτραχήλιον. Κἀκεῖσε λέγει·*
Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (γ´). Δόξα. Καὶ νῦν. Παναγία Τριάς, ἐλέησον ἡμᾶς, Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον. Δόξα. Καὶ νῦν. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς είς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
*Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ Κοντάκιον, εἰ ἐστὶν ἑορτὴ Δεσποτικὴ ἢ Θεομητορική, εἰ δὲ μή·*
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.
Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ΄ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.
Καὶ νῦν.
Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες είς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.
*Εἰ δὲ βούλει, λέγε·*
Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους Ἀνατολήν. Κύριε δόξα σοι.
Ἡ Γέννησίς σου, Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.
*Εἶθ΄ οὕτω τὰς ἑπομένας Εὐχάς.*
Τοῦ Κυρίου δεηθῶμεν.
Δέσποτα, Κύριε, Παντοκράτορ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, αὐτὸς καὶ τὴν παροῦσαν, τὴν σήμερον τέξασαν δούλην σου (τὴν δε) ἴασαι, καὶ ἀνάστησον αὐτὴν ἀπὸ τῆς κλίνης, ᾗς ἐπίκειται· ὅτι, κατὰ τὸν τοῦ προφήτου Δαυῒδ λόγον, ἐν ἀνομίαις συνελήφθημεν καὶ διὰ ῥύπου πάντες ἐσμὲν ἐνώπιόν σου. Φύλαξον ταύτην καὶ τὸ παρὸν νήπιον, ὃ ἔτεκε· σκέπασον αὐτὴν ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου ἀπὸ τῆς σήμερον μέχρι τῆς ἐσχάτης αὐτῆς τελειώσεως· πρεσβείαις τῆς παναχράντου Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων· Ὅτι εὐλογητὸς εἶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Τοῦ Κυρίου δεηθῶμεν.
Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ ὡς νήπιον ἐν φάτνῃ ἀνακλιθείς, καὶ ὡς βρέφος ἀναδειχθείς· αὐτὸς

καὶ τὴν παροῦσαν δούλην σου (*τήνδε*) τὴν σήμερον τέξασαν τὸ παρὸν παιδίον, ἐλέησον, καὶ συγχώρησον τὰ ἑκούσια καὶ τὰ ἀκούσια αὐτῆς πταίσματα καὶ διαφύλαξον αὐτὴν ἀπὸ πάσης τοῦ Διαβόλου τυραννίδος. Καὶ τὸ ἐξ αὐτῆς κυηθὲν νήπιον διατήρησον ἀπὸ πάσης φαρμακείας, ἀπὸ πάσης χαλεπότητος, ἀπὸ πάσης ζάλης τοῦ ἀντικειμένου, ἀπὸ πνευμάτων πονηρῶν, ἡμερινῶν τε καὶ νυκτερινῶν. Ταύτην δὲ διατήρησον ὑπὸ τὴν κραταιὰν χεῖρά σου, καὶ δὸς αὐτῇ ταχινὴν ἐξανάστασιν, καὶ τοῦ ῥύπου κάθαρον καὶ τοὺς πόνους θεράπευσον, καὶ ῥῶσιν καὶ εὐρωστίαν ψυχῇ τε καὶ σώματι δώρησαι, καὶ δι᾽ Ἀγγέλων φαιδρῶν καὶ φωτεινῶν ταύτην περίθαλψον, καὶ περιφρούρησον ἀπὸ πάσης ἐπελεύσεως τῶν ἀοράτων πνευμάτων. Ναί, Κύριε, ἀπὸ νόσου καὶ μαλακίας, ἀπὸ ζήλου καὶ φθόνου, καὶ ὀφθαλμῶν βασκανίας, καὶ ἐλέησον αὐτὴν καὶ τὸ βρέφος, κατὰ τὸ μέγα σου ἔλεος· καὶ καθάρισον αὐτὴν ἀπὸ τοῦ σωματικοῦ ῥύπου καὶ τῶν ποικίλων αὐτῇ ἐπερχομένων σπλαγχνικῶν ἐνοχλήσεων, καὶ ἔξαξον αὐτήν, διὰ τῆς ταχινῆς σου ἐλεημοσύνης, ἐν τῷ ταπεινῷ αὐτῆς σώματι εἰς ἐπανόρθωσιν· καὶ τὸ ἐξ αὐτῆς κυηθὲν νήπιον ἀξίωσον προσκυνῆσαι τὸν ἐπίγειον ναόν, ὃν ἡτοίμασας εἰς τὸ δοξολογεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας κατελθεῖν ἐκ τῶν οὐρανῶν, καὶ γεννηθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, διὰ τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν, ὁ γινώσκων τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, συγχώρησον τῇ δούλῃ σου (τῇ δε), τῇ τεξάσῃ σήμερον, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Σὺ γὰρ εἶπας, Κύριε· Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. Διὰ τοῦτο καὶ ἡμεῖς οἱ δοῦλοί σου δεόμεθα, καὶ θαῤῥοῦντες διὰ τῆς ἀνεξικάκου σου φιλανθρωπίας, φόβῳ βοῶμεν πρὸς τὸ τῆς βασιλείας σου ἅγιον ὄνομα. Ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε τὴν ἀσθένειαν ἡμῶν τῶν καταδίκων, καὶ συγχώρησον τῇ δούλῃ σου (τῇ δε), καὶ παντὶ τῷ οἴκῳ, ᾧ ἐγεννήθη τὸ παιδίον, καὶ τοῖς

ἀψαμένοις αὐτῆς, καὶ τοῖς ἐνθάδε εὑρισκομένοις πᾶσιν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· ὅτι μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

*Καὶ ἡ Ἀπόλυσις.*

Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ ἐν σπηλαίῳ γεννηθείς, καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Εὐχὴ είς τὸ κατασφραγίσαι παιδίον,
λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ
ἀπὸ τῆς γεννήσεως αὐτοῦ.**

*Ἰστέον δὲ ὅτι τῇ ὀγδόῃ ἡμέρᾳ, μετὰ τὴν γέννησιν προσάγεται ἐν τῷ Ναῷ τὸ βρέφος παρὰ τῆς μαίας καὶ ἵσταται πρὸ τῶν πυλῶν τοῦ Ναοῦ. Ὁ δὲ Ἱερεὺς φέρων, ὡς εἴθισται, τὸ Ἐπιτραχήλιον, λέγει·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τρισάγιον. Δόξα. Καὶ νῦν. Παναγία Τριάς. Κύριε, ἐλέησον (γ´). Δόξα. Καὶ νῦν. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

*Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας ἢ τοῦ Ἁγίου τοῦ Ναοῦ· εἶτα.*

Τῇ πρεσβείᾳ, Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν είρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

*Εἶτα σφραγίζει τὸ μέτωπον, τὸ στόμα, καὶ τὸ στῆθος τοῦ βρέφους, λέγων τὴν ἑπομένην Εὐχήν·*

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· Σημειωθήτω τὸ φῶς τοῦ προσώπου σου ἐπὶ τὸν δοῦλόν σου (τόνδε), καὶ σημειωθήτω ὁ Σταυρὸς τοῦ μονογενοῦς σου Υἱοῦ ἐν τῇ καρδίᾳ καὶ τοῖς διαλογισμοῖς αὐτοῦ, εἰς τὸ φυγεῖν τὴν ματαιότητα τοῦ κόσμου, καὶ πᾶσαν τὴν πονηράν ἐπιβουλήν τοῦ ἐχθροῦ, ἀκολουθεῖν δὲ τοῖς προστάγμασί σου. Καὶ δός, Κύριε, ἀνεξάρνητον μεῖναι τὸ ὄνομά σου τὸ ἅγιον ἐπ᾽ αὐτόν, συναπτόμενον ἐν καιρῷ εὐθέτῳ τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ καὶ τελειούμενον διὰ τῶν φρικτῶν Μυστηρίων τοῦ Χριστοῦ σου· ἵνα, κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος καὶ φυλάξας τὴν σφραγῖδα ἄθραυστον, τύχῃ τῆς μακαριότητος τῶν ἐκλεκτῶν ἐν τῇ βασιλείᾳ σου. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ἀνὰ χεῖρας λαβὼν τὸ παιδίον, ἵσταται ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ ἢ τῆς εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου, καὶ ποιῶν Σταυροῦ τύπον, λέγει·*

Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σύ, Πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

*Εἶτα ποιεῖ τὴν Ἀπόλυσιν.*

Δεῖ δὲ γινώσκειν, ὅτι τὸ γεννηθὲν βρέφος, ἐὰν ἄρα ἀσθενοῦν μὴ θηλάζῃ, ἀλλὰ καὶ πρὸς θάνατον ἀφορᾷ, οὐ χρὴ περιμένειν, ὥς τινες κακῶς φασι, τὴν ἕκτην, ἢ τὴν ὀγδόην ἡμέραν, καὶ οὕτω βαπτίζειν αὐτό, ἀλλὰ τῇ ὥρᾳ, ᾗ ἐγεννήθη, μόνον ἀποπλυθῆναι, καὶ εὐθὺς βαπτισθῆναι, ἵνα μὴ τελευτήσῃ ἀφώτιστον. Εἰ γὰρ αἱ πέντε μῆνας ἐγκυμονοῦσαι, εἰ τύχοι ἀπό τινος πληγῆς τὸ ἔμβρυον ἐκτρῶσαι, φόνου δίκῃ κατὰ τοὺς νόμους καὶ τοὺς κανόνας ἐνέχονται, πολλῷ μᾶλλον τὸ κρῖμα δεῖ ἐκφεύγειν τῶν γεννωμένων, ἵνα μὴ ἀφώτιστα τελευτῶσιν.

**Εὐχαὶ εἰς τὸ ἐκκλησιάσαι παιδίον, μεθ᾽ ἡμέρας τεσσαράκοντα.**

*Τῇ δὲ τεσσαρακοστῇ ἡμέρᾳ, τὸ βρέφος προσάγεται πάλιν τῷ Ναῷ ἐπὶ τῷ ἐκκλησιασθῆναι, εἴτουν ἀρχὴν λαβεῖν τοῦ εἰσάγεσθαι εἰς τὴν Ἐκκλησίαν· προσάγεται δὲ παρὰ τῆς μητρός, ἤδη κεκαθαρμένης καὶ λελουμένης οὔσης, παρόντος καὶ τοῦ μέλλοντος ἀναδέχεσθαι τοῦτο κατὰ τὸ Βάπτισμα. Ἱσταμένης δὲ τῆς μητρὸς μετὰ τοῦ βρέφους πρὸ τῶν πυλῶν τοῦ Ναοῦ, ὁ Ἱερεὺς λέγει·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἅγιος ὁ Θεός. (ἐκ γ´). Δόξα. Καὶ νῦν. Παναγία Τριάς. Κύριε, ἐλέησον (γ´). Δόξα. Καὶ νῦν. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.

*Εἶτα τὸ Ἀπολυτίκον τῆς ἡμέρας, τὸ τυχὸν ἢ τοῦ λαχόντος Ἁγίου.*

Δόξα. Καὶ νῦν....Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

*Καὶ κλινούσης τῆς μητρὸς τὴν κεφαλήν, ἅμα τῷ βρέφει, ποιεῖ ὁ Ἱερεὺς τὴν τοῦ Σταυροῦ σφραγῖδα ἐπ᾽ αὐτῇ καὶ ἁπτόμενος τῆς κεφαλῆς αὐτῆς, λέγει τὴν ἑπομένην Εὐχήν.*

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικήν τε καὶ ἄλογον διὰ τοῦ λόγου σου δημιουργήσας· ὁ πάντα ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγών, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· ἣν τῷ σῷ θελήματι διέσωσας δούλην σου (τήνδε), καθάρισον ἀπὸ πάσης ἁμαρτίας καὶ ἀπὸ παντὸς ῥύπου, προσερχομένην τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, ἵνα ἀκατακρίτως ἀξιωθῇ μετασχεῖν τῶν ἁγίων σου Μυστηρίων.

*Ἰστέον ὅτι, εἰ οὐχ εὑρίσκεται ἐν τοῖς ζῶσι τὸ βρέφος, ἀναγινώσκεται ἕως ὧδε ἡ Εὐχή· εἶτα λέγει ὁ Ἱερεὺς ἐκφώνως.*

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἰ δὲ τὸ βρέφος ζῇ, τότε ἁπτόμενος τῆς κεφαλῆς αὐτοῦ λέγει·*

Καὶ τὸ ἐξ αὐτῆς τεχθὲν παιδίον, εὐλόγησον, αὔξησον, ἁγίασον, συνέτισον, σωφρόνισον, καλοφρόνησον· ὅτι σὺ παρήγαγες

αὐτό, καὶ ἔδειξας αὐτῷ τὸ φῶς τὸ αἰσθητόν, *(ταῦτα παραλείπονται ἐὰν τὸ τέκνον ᾖ βεβαπτισμένον)* ἵνα καὶ τοῦ νοητοῦ καταξιωθῇ φωτὸς ἐν καιρῷ, ᾧ προώρισας, καὶ συγκαταριθμηθῇ τῇ ἁγίᾳ σου ποίμνῃ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ΄ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ αὖθις ἐπεύχεται οὕτως· Εὐχὴ εἰς τὴν Μητέρα τοῦ παιδίου.*

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς σου Υἱοῦ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, παραγενοῦ καὶ ἐπὶ τὴν δούλην σου (τήνδε) καὶ καταξίωσον αὐτήν, διὰ τῶν εὐχῶν τοῦ τιμίου Πρεσβυτερίου, καταφυγεῖν ἐν τῇ ἁγίᾳ σου καθολικῇ Ἐκκλησίᾳ, καὶ τυχεῖν τῆς εἰσόδου τοῦ ναοῦ τῆς δόξης σου, καὶ ἀξίωσον αὐτὴν μεταλαβεῖν τοῦ τιμίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου. Ἀπόπλυνον αὐτῆς τὸν ῥύπον τοῦ σώματος, καὶ τὸν σπίλον τῆς ψυχῆς, ἐν τῇ συμπληρώσει τῶν τεσσαράκοντα ἡμερῶν· ὅπως, ἀξιωθεῖσα εἰσελθεῖν ἐν τῷ ἁγίῳ ναῷ σου, δοξάσῃ σὺν ἡμῖν τὸ πανάγιον ὄνομά σου τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὧδε, εἰ μὲν τὸ βρέφος ἐβαπτίσθη ἤδη ἢ καὶ ἀπέθανε, ποιεῖ ὁ Ἱερεὺς Ἀπόλυσιν, εἰ δὲ μὴ ἀναγινώσκει καὶ τὴν ἑξῆς ἕως τέλους. Εὐχὴ ἑτέρα εἰς τὸ Παιδίον, ἣν ὁ Ἱερεύς, σφραγίζων τοῦτο, ἐπεύχεται.*

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις, βρέφος τῷ νομικῷ Ναῷ προσαχθεὶς ὑπὸ Μαρίας τῆς ἀπειρογάμου καὶ ἁγίας σου Μητρός, καὶ ἐν ταῖς ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, Αὐτός, Δέσποτα παντοδύναμε, καὶ τὸ προσαχθὲν τοῦτο βρέφος, ἐμφανισθῆναί σοι τῷ πάντων Ποιητῇ, εὐλόγησον, καὶ εἰς πᾶν ἔργον ἀγαθὸν καὶ σοὶ εὐάρεστον αὔξησον, ἀποσοβῶν ἀπ΄ αὐτοῦ πᾶσαν ἐναντίαν δύναμιν, διὰ τῆς σημειώσεως τοῦ τύπου τοῦ Σταυροῦ σου· σὺ γὰρ εἶ ὁ φυλάσσων τὰ νήπια, Κύριε· «ἵνα, καταξιωθὲν τοῦ ἁγίου Βαπτίσματος»*[1] τύχῃ τῆς μερίδος τῶν ἐκλεκτῶν τῆς

βασιλείας σου, φυλαττόμενον σὺν ἡμῖν τῇ χάριτι τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ ἀδιαιρέτου Τριάδος. Σοὶ γὰρ πρέπει πᾶσα δόξα καὶ εὐχαριστία καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Είρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Θεός, ὁ Πατήρ, ὁ παντοκράτωρ, ὁ διὰ τοῦ μεγαλοφωνοτάτου τῶν προφητῶν Ἡσαΐου, προκαταγγείλας ἡμῖν τὴν ἐκ Παρθένου σάρκωσιν τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, ὃς ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν, εὐδοκίᾳ σῇ καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, διὰ τὴν τῶν βροτῶν σωτηρίαν, ἀμέτρῳ εὐσπλαγχνίᾳ ἐξ αὐτῆς νηπιάσαι καταδεξάμενος, καὶ κατὰ τὸ εἰθισμένον ἐν Νόμῳ ἁγίῳ σου, μετὰ τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ καθαρισμοῦ, τῷ Ἱερῷ προσαχθῆναι ἠνέσχετο, ἀληθὴς νομοθέτης ὑπάρχων, καὶ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι κατεδέξατο, οὗπερ μυστηρίου τὴν προτύπωσιν ἐν τῷ προλεχθέντι Προφήτῃ, διὰ τῆς λαβίδος τοῦ ἄνθρακος, δηλωθεῖσαν ἐπέγνωμεν, οὗ καὶ ἡμεῖς οἱ πιστοὶ τὴν μίμησιν ἐν χάριτι κατέχομεν· Αὐτὸς καὶ νῦν, ὁ φυλάσσων τὰ νήπια, Κύριε, εὐλόγησον τὸ παιδίον τοῦτο, ἅμα τοῖς γονεῦσι καὶ ἀναδόχοις αὐτοῦ· «καὶ καταξίωσον αὐτὸ ἐν καιρῷ εὐθέτῳ καὶ τῆς δι᾽ ὕδατος καὶ πνεύματος ἀναγεννήσεως· συγκαταρίθμησον αὐτὸ τῇ ἁγίᾳ σου ποίμνῃ τῶν λογικῶν προβάτων, τῶν ἐπικεκλημένων τῷ ὀνόματι τοῦ Χριστοῦ σου».*² Ὅτι σὺ εἶ ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸ παιδίον, σχηματίζει δι᾽ αὐτοῦ Σταυρὸν πρὸ τῶν πυλῶν τοῦ Ναοῦ, λέγων·*

Ἐκκλησιάζεται ὁ δοῦλος τοῦ Θεοῦ *(ὁ δεῖνα),* είς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

*Εἶτα είσάγει αὐτὸ ἐν τῷ Ναῷ λέγων·*

Είσελεύσομαι είς τὸν οἶκόν σου, Κύριε, προσκυνήσω πρὸς Ναόν ἅγιόν σου.

*Καὶ είσέρχεται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, λέγων·*

Ἐκκλησιάζεται ὁ δοῦλος τοῦ Θεοῦ...
*Εἶτα λέγει·*
Ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.
*Εἶτα προσάγει αὐτὸ πρὸ τῶν πυλῶν τοῦ Θυσιαστηρίου λέγων·*
Ἐκκλησιάζεται ὁ δοῦλος τοῦ Θεοῦ...
*Καί εἰσάγει αὐτὸ εἰς τὸ ἅγιον Θυσιαστήριον, εἰ μὲν εἴη ἄῤῥεν· εἰ δὲ θῆλυ, ἕως τῶν ὡραίων πυλῶν, λέγων τὸ·*
Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.
*Καὶ ὁ Ἱερεὺς ποιεῖ, ὡς ἔθος, Ἀπόλυσιν.*
Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν ἐπουρανίων Θείων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τοῦ ναοῦ) καὶ πάντων τῶν ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Δι᾿ εὐχῶν...
*Καὶ μετὰ τὸ Ἀμὴν σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος ἐπιλέγων καὶ τὸ τῆς ἁγίας Τριάδος ὄνομα. Καὶ οὕτως ἀποδίδωσι τὸ βρέφος τῇ μητρί.*
**[1] Ἰστέον, ὅτι εἰ τὸ παιδίον ἐβαπτίσθη, οὕτω λέγει ὁ Ἱερεύς· «ἵνα διὰ τοῦ ἁγίου βαπτίσματος, οὗ κατηξιώθη», τύχῃ...*
**[2] Καὶ πάλιν ἰστέον, ὅτι εἰ τὸ παιδίον ἐβαπτίσθη, οὐ λέγομεν τὴν εὐχήν· Ὁ Θεός... ἢ καταλιμπάνομεν ταῦτα· *καὶ καταξίωσον αὐτὸ ἐν καιρῷ... μέχρι τῷ ὀνόματι τοῦ Χριστοῦ σου.**

## Εξομολόγησις
Ευλογητός ο Θεός ημών, πάντοτε, νυν, και αεί, και εις τους αιώνας των αιώνων.

Αμήν.
Εν ειρήνη του Κυρίου δεηθώμεν. (Κύριε ελέησον)
Υπέρ της άνωθεν ειρήνης, και της σωτηρίας των ψυχών ημών, του Κυρίου δεηθώμεν.
Υπέρ του δούλου του Θεού (*δεινος*) αφέσεως των αμαρτιών και συγχωρήσεως των εκουσίων και ακουσίων αυτού πλημμελημάτων, του Κυρίου δεηθώμεν.
Όπως Κύριος ο Θεός δωρήσηται αυτώ άφεσιν των αμαρτιών και καιρόν μετανοίας, του Κυρίου δεηθώμεν.
Υπέρ του ρυσθήναι αυτόν τε και ημάς από πάσης θλίψεως, οργής, κινδύνου και ανάγκης, του Κυρίου δεηθώμεν.
Αντιλαβού, σώσον, ελέησον και διαφύλαξον ημάς, ο Θεός, τη ση χάριτι.
Της Παναγίας, αχράντου, υπερευλογημένης, ενδόξου, Δεσποίνης ημών Θεοτόκου και αειπαρθένου Μαρίας, μετά πάντων των Αγίων μνημονεύσαντες, εαυτούς και αλλήλους και πάσαν την ζωήν ημών, Χριστώ τω Θεώ παραθώμεθα.
ΕΥΧΗ ΣΥΓΧΩΡΗΤΙΚΗ
Κύριε, ο Θεός ημών, ο τω Πέτρω και τη πόρνη δια δακρύων άφεσιν αμαρτιών δωρησάμενος, και τον τελώνην τα ίδια επιγνόντα πταίσματα δικαιώσας, πρόσδεξαι την εξομολόγησιν του δούλου σου (δείνος) και ει τι επλημμέλησεν εκούσιον ή ακούσιον αμάρτημα, εν λόγω ή έργω ή κατά διάνοιαν, ως αγαθός και φιλάνθρωπος Θεός συγχώρησον· συ γαρ ει ο μόνος εξουσίαν έχων αφιέναι αμαρτίας, και σοί σην δόξαν αναπέμπομεν, συν τω ανάρχω σου Πατρί και τω παναγίω και αγαθώ και ζωοποιώ σου Πνεύματι, νυν, και αεί και εις τους αιώνας των αιώνων.
Αμήν.
Η χάρις του παναγίου Πνεύματος δια της εμής ελαχιστότητος, έχει σε λελυμένον και συγκεχωρημένον.

**Υπάρχει έθιμο, (όλοι) οι ιερείς να αναγινώσκουν εις τους μέλλοντας να κοινωνήσουν την συγχωρητική ευχή «Κύριε, Ιησού Χριστέ, Υιέ του Θεού του ζώντος, ποιμήν και αμνέ...».(Ιωάννου Φουντούλη)**

Εὐχὴ λεγομένη παρὰ ἀρχιερέως ἢ πνευματικοῦ πατρὸς ἐπὶ τοὺς μέλλοντας μεταλαβεῖν τῶν ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων:-

Τοῦ Κυρίου δεηθῶμεν:-

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, υἱὲ καὶ λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὸ δάνειον τοῖς δυσὶ χρεοφειλέταις χαρισάμενος καὶ τῇ ἁμαρτωλῷ γυναικὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν δούς, ὁ τὴν ἴασιν τῷ παραλύτῳ δωρησάμενος σὺν τῇ ἀφέσει τῶν ἁμαρτιῶν αὐτοῦ, αὐτὸς ἄνες, ἄφες, συγχώρησον τὰς ἀνομίας, τὰς ἁμαρτίας τὰ πλημμελήματα τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει τε καὶ παρακοῇ, γενόμενα παρὰ τοῦ δούλου σου τοῦδε………

και εἴτε ὡς ἄνθρωπος σάρκα φορῶν καὶ τὸν κόσμον τοῦτον οἰκῶν παρέβη ἢ ἐπλημμέλησεν, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε κατὰ διάνοιαν, ἐν γνώσει τε καὶ ἀγνοίᾳ, ἐν νυκτὶ καὶ ἡμέρᾳ, εἴτε ὑπὸ κατάραν ἢ ἀφορισμὸν ἀρχιερέως ἢ ἱερέως ἐγένετο, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ἢ ὅρκον ὤμοσεν ἐν ὀνόματι τοῦ Θεοῦ καὶ τοῦτον παρέβη, ἢ ἐξ ἀλόγου θυμοῦ τινὰ τῶν χριστιανῶν ἀνεθεμάτισεν ἢ κατηράσατο ἢ ἐμωρολόγησεν ἢ ἐλοιδόρησεν ἢ κατέκρινεν ἢ κατελάλησεν ἢ ἠσχρολόγησεν ἢ ἐφθόνησεν ἢ ἐφόνευσεν ἢ ἐψεύσατο ἢ ἐμνησικάκησεν ἢ ἐθυμώθη καὶ ὠργίσθη ἢ ὑπερηφανεύσατο ἢ ἐδολιεύσατο ἢ ἐτόκευσεν ἢ ἠκηδίασεν ἢ ἠδίκησεν ἢ ἐκενοδόξησεν ἢ εἰς φιλαργυρίαν ὑπέπεσεν ἢ ἐμέθυσε καὶ ἔμεσεν ἢ πρὸς φαρμακοὺς καὶ μάγους καὶ ἐπαοιδοὺς καὶ κληδονιστὰς καὶ τῶν ὁμοίων τούτοις προσέδραμε, ἢ ἐγαστριμάργησεν ἢ ἠδηφάγησεν ἢ ὑπὸ ἀπληστείαν ἐγένετο ἢ ἐπόρνευσεν ἢ ἐμοίχευσεν ἢ ἐμαλακίσθη ἢ ἐπαιδοφθόρησεν ἢ σοδομητικὰς πράξεις ἐποίησεν ἢ ἀρσενοκοίτησεν ἢ ἐπτηνοβάτησεν ἢ ἐκτηνοβάτησεν ἢ ἐμάστιξεν ἢ ἐρράβδισεν ἢ ἐρράπισεν ἢ ἐραδιούργησεν ἢ ἥρπασεν ἢ ἔκλεψεν ἢ ὑπὸ ἀσπλαχνίας καὶ σκνηπίας σφιγγόμενος τοῖς πτωχοῖς παρεῖδε καὶ οὐκ ἠλέησεν, οὐδὲ εὐηργήτησε κατὰ δύναμιν, ἢ κατὰ διάνοιαν ἐβλασφήμησεν καὶ ἀκαθάρτοις ἐνθυμήσεις ἐνεθυμήθη ἢ ἀδελφὸν ἔθλιψεν ἤ ἐσυκοφάντησεν ἢ παρεῖδε ἢ παρεπίκρανεν

ἢ ἱσταμένου αὐτοῦ εἰς προσευχὴν καὶ ψαλμωδίαν ὁ νοῦς αὐτοῦ εἰς τὰ πονηρὰ καὶ βιωτικὰ περιεπόλευσεν, ἢ φίλαυτος καὶ κοιλιόδουλος ἐγένετο ἢ παρὰ τὸ πρέπον ἐτρύφησεν ἢ ἐλαθροφάγησεν ἢ εὐτράπελα ἐλάλησεν ἢ ἀφρόνως ἐγέλασεν ἢ κάλλος μάταιον ἐθεάσατο καὶ ὑπ'αὐτοῦ ἐθέλχθη, ἢ τὰ μὴ δέοντα ἐφλυάρησεν ἢ συνεκυλίσθη μετὰ ἑτέρου σώματος καὶ ἐκ τῆς ἰδίας σαρκὸς ἐγένετο ῥεῦσις, ἢ τὸ ἐλάττωμα τοῦ ἀδελφοῦ αὐτοῦ εἶδε καὶ κατέκρινεν καὶ τὰ ἑαυτοῦ ἐλαττώματα καὶ ἁμαρτήματα παρεῖδε καὶ παρεβλέψατο, ἢ τῆς εὐχῆς αὐτοῦ ἠμέλησε καὶ τὴν ἐντολὴν τοῦ πνευματικοῦ πατρὸς αὐτοῦ οὐκ ἐφύλαξεν, ἢ ἐρραθύμησεν ἢ ἐπαρρησιάσατο καὶ ὡς δοκησίσοφος ἐλάλησε καὶ ἐματαιολόγησεν ἢ ἀργολόγησεν ἢ ἄλλο τι πονηρὸν καὶ μὴ δυνάμενον ἐξαγγελθῆναι ἐποίησεν·

ἐκ πάντων οὖν τούτων τῶν δυσχερῶν καὶ πονηρῶν πταισμάτων ἐλευθέρωσον τὸν δοῦλόν σου τόνδε, φιλάνθρωπε Κύριε, καὶ ἄλλο εἴ τι ἥμαρτεν ὡς ἄνθρωπος κατὰ τὴν εἰς ἄφατον καὶ ἀνεξίκακον μακροθυμίαν καὶ χρηστότητι, ἐλέησον καὶ συγχώρησον αὐτῷ πάντα·

ναὶ, δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐπάκουσόν μου δεομένου τῆς σῆς ἀγαθότητος ὑπὲρ τοῦ δούλου σου τοῦδε, καὶ πάριδε ὡς ἀμνησίκακος Θεὸς τὰ ἐπταισμένα αὐτῷ πάντα, ἀκάθαρτα ἀνομήματα, ἅπερ ὡς ἄνθρωπος ἔπραξεν ἢ ἐνεθυμήθη, αὐτὸς γὰρ ὁμολογεῖ ὁ ἄθλιος ἐνώπιον τῆς βασιλείας σου Κύριε, ὅτι ταῦτα πάντα καὶ ἕτερα πλείονα ἐποίησε καὶ διὰ τοῦ ἐλέους σου, ἐπάκουσόν μου τοῦ ἀναξίου δούλου σου δεομένου ὑπὲρ αὐτοῦ, καὶ ἀπάλλαξον αὐτὸν τῆς αἰωνίου κολάσεως καὶ κληρονόμον αὐτὸν ποίησον τῶν αἰωνίων σου ἀγαθῶν, μετὰ πάντων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων· καὶ ἀξίωσον αὐτὸν ἀκατακρίτως μετασχεῖν τῶν ἁγίων ἀχράντων, ἀθανάτων καὶ φοβερῶν καὶ φρικτῶν σου μυστηρίων.

Σὺ γὰρ εἶπας δέσποτα ὅτι ὅσα ἄν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ ἐν τοῖς οὐρανοῖς, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα καὶ ἐν τῷ οὐρανῷ· ὅτι σὺ εἶ μόνος ἀναμάρτητος καὶ δυνάμενος ἀφιέναι ἁμαρτίας καὶ σοὶ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ

παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἴς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

**https://www.youtube.com/user/KERMENI**